Ἑσπέρας γενομένης, συναθροίσεις τὴν ἐκκλησίαν, ὦ ἐπίσκοπε, καὶ μετὰ τὸ ῥηθῆναι τὸν ἐπιλύχνιον ψαλμὸν προσφωνήσει ὁ διάκονος ὑπὲρ τῶν κατηχουμένων, καὶ χειμαζομένων καὶ τῶν φωτιζομένων, καὶ τῶν ἐν μετανοίᾳ, ὡς προεἰπομεν. Μετὰ δὲ τὸ ἀπολυθῆναι αὐτοὺς, ὁ διάκονος ἐρεῖ· ὅσοι πιστοὶ, δεηθῶμεν τοῦ κυρίου, καὶ μετὰ τὸ προσφωνῆσαι αὐτὸν τὰ τῆς πρώτης εὐχῆς, ἐρεῖ.

Προσφωνησις ἐπιλυχνιος.

Σῶσον καὶ ἀνάστησον ἡμᾶς ὁ Θεὸς διὰ τοῦ Χριστοῦ σου. Ἀναστάντες αἰτησώμεθα τὰ ἐλέη τοῦ κυρίου καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, τὸν ἄγγελον τὸν ἐπὶ τῆς εἰρήνης, τὰ καλὰ καὶ τὰ συμφέροντα, χριστιανὰ τὰ τέλη. Τὴν ἑσπέραν καὶ τὴν νύκτα εἰρηνικὴν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν ἀκατάγνωστον αἰτησώμεθα. ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι Θεῷ, διὰ Χριστοῦ αὐτοῦ παραθῶμεν, καὶ ὁ ἐπίσκοπος ἐπευχόμενος, λεγέτω.

Digitized by Google

Εὐχαριστια ἐπιλυχνιος.

Ὁ ἄναρχος Θεὸς καὶ ἀτελεύτητος, ὁ τῶν ὅλων ποιητὴς διὰ Χριστοῦ καὶ κηδεμὼν, πρὸ δὲ πάντων αὐτοῦ Θεὸς καὶ πατὴρ, ὁ τοῦ πνεύματος κύριος, καὶ τῶν νοητῶν καὶ αἰσθητῶν βασιλεὺς, ὁ ποιήσας ἡμέραν πρὸς ἔργα φωτὸς, καὶ νύκτα εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡμῶν· σὴ γάρ ἐστιν ἡμέρα, καὶ σή ἐστιν ἡ νὺξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον· αὐτὸς καὶ νῦν, δέσποτα, φιλάνθρωπε καὶ πανάγαθε, εὐμενῶς πρόσδεξαι τὴν ἑσπερινὴν εὐχαριστίαν ἡμῶν ταύτην. Ὁ διαγαγὼν ἡμᾶς τὸ μῆκος τῆς ἡμέρας, καὶ ἀγαγὼν ἐπὶ τὰς ἀρχὰς τῆς νυκτὸς, φύλαξον ἡμᾶς διὰ τοῦ Χριστοῦ σου, εἰρηνικὴν παράσχου τὴν ἑσπέραν καὶ τὴν νύκτα ἀναμάρτητον, καὶ καταξίωσον ἡμᾶς τῆς αἰωνίου ζωῆς, διὰ τοῦ Χριστοῦ σου· δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας, ἐν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Καὶ ὁ διάκονος λεγέτω· κλίνατε τῇ χειροθεσίᾳ. καὶ ὁ ἐπίσκοπος λεγέτω·

Θεὲ πατέρων, καὶ κύριε τοῦ ἐλέους, ὁ τῇ σοφίᾳ σου κατασκευάσας ἄνθρωπον τὸ λογικὸν ζῶον, τὸ θεοφιλὲς τῆς ἐπὶ γῆς, καὶ δοὺς αὐτῷ τὸ ἐπὶ τῆς χθονὸς ἄρχειν, καὶ καταστήσας γνώμῃ σῇ ἄρχοντας καὶ ἱερεῖς, τοὺς μὲν πρὸς ἀσφάλειαν τῆς ζωῆς, τοὺς δὲ πρὸς λατρείαν ἔννομον· αὐτὸς καὶ νῦν ἐπικάμψθητι, κύριε παντοκράτορ καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν λαόν σου, τοὺς κάμψαντας αὐχένα καρδίας αὐτῶν, καὶ εὐλόγησον αὐτοὺς διὰ Χριστοῦ, δι' οὗ ἐφώτισας ἡμᾶς φῶς γνώσεως, καὶ ἀπεκάλυψας ἡμῖν σαυτόν· μεθ' οὗ σοι καὶ ἡ ἐπάξιος ὀφείλεται προσκύνησις παρὰ πάσης λογικῆς καὶ ἁγίας φύσεως καὶ πνεύματι τῷ παρακλήτῳ, εἰς τοὺς αἰῶνας. ἀμήν. Καὶ ὁ διάκονος λεγέτω· προέλθετε ἐν εἰρήνῃ.

Ὡσαύτως ὄρθρου, ὁ διάκονος, μετὰ τὸ ῥηθῆναι τὸν ὀρθρινὸν, καὶ ἀπολῦσαι αὐτὸν τοὺς κατηχουμένους, καὶ χειμαζομένους, καὶ βαπτιζομένους καὶ τοὺς ἐν μετανοίᾳ, καὶ τὴν ὀφειλομένην ποιήσασθαι προσφώνησιν, ἵνα μὴ

Digitized by Google

πάλιν λέγωμεν τὰ αὐτὰ, ἐπιφερέτω μετὰ τὸ· σῶσον αὐτοὺς ὁ Θεὸς, καὶ ἀνάστησον ἐν τῇ χάριτί σου· αἰτησώμεθα παρὰ κυρίου τὰ ἐλέη αὐτοῦ καὶ τοὺς οἰκτιρμοὺς, τὸν ὄρθρον τοῦτον καὶ τὴν ἡμέραν εἰρηνικὴν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς παρεπιδημίας ἡμῶν, τὸν ἄγγελον τὸν ἐπὶ τῆς εἰρήνης, χριστιανὰ τὰ τέλη, ἵλεων καὶ εὐμενῆ τὸν Θεόν· ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι Θεῷ διὰ τοῦ μονογενοῦς αὐτοῦ παραθώμεθα. Καὶ ὁ ἐπίσκοπος ἐπευχόμενος λεγέτω.

Εὐχαριστια ὀρθρινη.

Ὁ Θεὸς ὁ τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ὁ ἀσύγκριτος καὶ ἀπροσδεὴς, ὁ δοὺς τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν δὲ σελήνην καὶ τὰ ἄστρα εἰς ἐξουσίαν τῆς νυκτός· αὐτὸς καὶ νῦν ἔπιδε ἐφ' ἡμᾶς εὐμενέσιν ὀφθαλμοῖς, καὶ πρόσδεξαι τὰς ἐωθινὰς ἡμῶν εὐχαριστίας, καὶ ἐλέησον ἡμᾶς· οὐ γὰρ διεπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον. οὐ γάρ ἐστιν ἐν ἡμῖν Θεὸς πρόσφατος, ἀλλὰ σὺ ὁ αἰώνιος καὶ ἀτελεύτητος, ὁ τὸ εἶναι ἡμῖν διὰ Χριστοῦ παρασχόμενος, καὶ τὸ εὖ εἶναι δι' αὐτοῦ δωρησάμενος· αὐτὸς ἡμᾶς δι' αὐτοῦ καταξίωσον καὶ τῆς αἰωνίου ζωῆς· μεθ' οὗ σοι δόξα καὶ τιμὴ καὶ σέβας, καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Καὶ ὁ διάκονος λεγέτω· κλίνατε τῇ χειροθεσίᾳ καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω, λέγων.

Χειροθεσια ὀρθρινη.

Ὁ Θεὸς ὁ πιστὸς καὶ ἀληθινὸς ὁ ποιῶν ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσί σε, ὁ φίλος ταπεινῶν, καὶ πενήτων προστάτης, οὗ πάντα ἐν χρείᾳ καθέστηκεν, ὅτι τὰ σύμπαντα δοῦλά σου· ἔπιδε ἐπὶ τὸν λαόν σου τοῦτον, τοὺς κεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς, καὶ εὐλόγησον αὐτοὺς εὐλογίαν πνευματικὴν, φύλαξον αὐτοὺς ὡς κόρην ὀφθαλμοῦ. Διατήρησον αὐτοὺς ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καὶ καταξίωσον αὐτοὺς τῆς αἰωνίου ζωῆς, ἐν Χριστῷ Ἰησοῦ τῷ ἠγαπημένῳ σου παιδὶ, μεθ'

Digitized by Google

σοι δόξα, τιμὴ καὶ σέβας, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Καὶ ὁ διάκονος λεγέτω· προέλθετε ἐν εἰρήνῃ.

Beilage Nr. XIII.

Zu §. 61. n. 5.

Eusebius, de vita Constantini IV, 19. 20.

Τοῖς δὲ μήπω τοῦ θείου λόγου μετασχοῦσιν, ἐν δευτέρῳ νόμῳ διεκελεύετο, τὰς κυριακὰς ἡμέρας ἐν προαστείοις ἐπὶ καθαροῦ προϊέναι πεδίου· κἀνταῦθα μεμελετημένην εὐχὴν ἐξ ἑνὸς συνθήματος ὁμοῦ τοὺς πάντας ἀναπέμπειν θεῷ· μήτε γὰρ δόρασι χρῆσθαι, μήτε παντευχίαις, μηδ' ἀλκῇ σωμάτων τὰς ἑαυτῶν ἐλπίδας· τὸν δ' ἐπὶ πάντων εἰδέναι Θεὸν, παντὸς ἀγαθοῦ δοτῆρα, καὶ αὐτῆς νίκης· ᾧ καὶ τὰς ἐνθέσμους προσήκειν ἀποδιδόναι εὐχὰς, ἄνω μὲν αἴροντας εἰς οὐρανὸν μετεώρους τὰς χεῖρας· ἀνωτάτω δ' ἐπὶ τὸν οὐράνιον βασιλέα τοὺς τῆς διανοίας παραπέμποντας ὀφθαλμοὺς, κἀκεῖνον ταῖς εὐχαῖς νίκης δοτῆρα, καὶ σωτῆρα, φύλακά τε, καὶ βοηθὸν ἐπιβωμένους· καὶ τῆς εὐχῆς δὲ τοῖς στρατιωτικοῖς ἅπασι διδάσκαλος ἦν αὐτὸς, Ῥωμαΐᾳ γλώττῃ τοὺς πάντας ὧδε λέγειν ἐγκελευσάμενος. (c. 20.) Σὲ μόνον οἴδαμεν Θεόν· σὲ βασιλέα γνωρίζομεν· σὲ βοηθὸν ἀνακαλούμεθα· παρὰ σοῦ τὰς νίκας ἠράμεθα· διὰ σοῦ κρείττους τῶν ἐχθρῶν κατέστημεν· σοὶ τὴν τῶν ὑπαρξάντων ἀγαθῶν χάριν γνωρίζομεν· σὲ καὶ τῶν μελλόντων ἐλπίζομεν. σοῦ πάντες ἱκέται γινόμεθα· τὸν ἡμέτερον Βασιλέα Κωνσταντῖνον, παῖδάς τε αὐτοῦ θεοφιλεῖς, ἐπὶ μήκιστον ἡμῖν βίου, σῶον καὶ νικητὴν φυλάττεσθαι ποτνιώμεθα· τοιαῦτα κατὰ τὴν τοῦ φωτὸς ἡμέραν ἐνομοθέτει πράττειν τὰ στρατιωτικὰ τάγματα, καὶ τοιαύτας ἐδίδασκεν ἐν ταῖς πρὸς θεὸν εὐχαῖς ἀφιέναι φωνάς.

Digitized by Google

Beilage Nr. XIV.

Zu §. 65. n. 5.

Chronicon Paschale. Fragmente aus dem Paſſahſtreit.

a) Von Apollinaris.

Καὶ Ἀπολινάριος δὲ ὁ ὁσιώτατος ἐπίσκοπος Ἱεραπόλεως τῆς Ἀσίας, ὁ ἐγγὺς τῶν ἀποστολικῶν χρόνων γεγονὼς, ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ τὰ παραπλήσια ἐδίδαξε, λέγων οὕτως· Εἰσὶ τοίνυν οἳ δι' ἄγνοιαν φιλονεικοῦσι περὶ τούτων, συγγνωστὸν πρᾶγμα πεπονθότες· ἄγνοια γὰρ οὐ κατηγορίαν ἀναδέχεται, ἀλλὰ διδαχῆς προσδεῖται· καὶ λέγουσιν ὅτι τῇ ιδ' τὸ πρόβατον μετὰ τῶν μαθητῶν ἔφαγεν ὁ Κύριος· τῇ δὲ μεγάλῃ ἡμέρᾳ τῶν ἀζύμων αὐτὸς ἔπαθε. καὶ διηγοῦνται Ματθαῖον οὕτω λέγειν ὡς νενοήκασιν. ὅθεν ἀσυμφώνως τε νόμῳ ἡ νόησις αὐτῶν· καὶ στασιάζειν δοκεῖ κατ' αὐτοὺς τὰ εὐαγγέλια.

Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ γέγραφεν οὕτως. Ἡ ιδ' τοῦ ἀληθινοῦ τοῦ κυρίου πάσχα, ἡ θυσία ἡ μεγάλη, ὁ ἀντὶ τοῦ ἀμνοῦ παῖς Θεοῦ, ὁ δεθεὶς, ὁ δήσας τὸν ἰσχυρὸν, καὶ ὁ κριθεὶς κριτὴς ζώντων καὶ νεκρῶν, καὶ ὁ παραδοθεὶς εἰς χεῖρας ἁμαρτωλῶν, ἵνα σταυρωθῇ, ὁ ὑψωθεὶς ἐπὶ κεράτων μονοκέρωτος, καὶ ὁ τὴν ἁγίαν πλευρὰν ἐκκεντηθεὶς, ὁ ἐκχέας ἐκ τῆς πλευρᾶς αὐτοῦ τὰ δύο πάλιν καθάρσια, ὕδωρ καὶ αἷμα, λόγον καὶ πνεῦμα, καὶ ὁ ταφεὶς ἐν ἡμέρᾳ τῇ τοῦ πάσχα, ἐπιτεθέντος τῷ μνήματι τοῦ λίθου.

b) Von Clemens Alex.

Ἀλλὰ καὶ Κλήμης ὁ ὁσιώτατος τῆς Ἀλεξανδρέων ἐκκλησίας γεγονὼς ἱερεὺς, ἀνὴρ ἀρχαιότατος καὶ οὐ μακρὰν τῶν ἀποστολικῶν γενόμενος χρόνων ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ τὰ παραπλήσια διδάσκει, γράφων οὕτω.

Digitized by Google

Τοῖς μὲν οὖν παρεληλυθόσιν ἔτεσι τὸ θυόμενον πρὸς Ἰουδαίων ἤσθιεν, ἑορτάζων ὁ κύριος πάσχα· ἐπεὶ δὲ ἐκήυξεν αὐτὸς ὢν τὸ πάσχα ὁ ἀμνὸς τοῦ Θεοῦ, ὡς πρόλατον ἐπὶ σφαγὴν ἀγόμενος, αὐτίκα ἐδίδαξε μὲν τοὺς μαθητὰς τοῦ τύπου τὸ μυστήριον τῇ ιδ', ἐν ᾗ καὶ πυνθάνονται αὐτοῦ· ποῦ θέλεις ἑτοιμάσωμέν σοι τὸ πάσχα φαγεῖν; ταύτῃ οὖν τῇ ἡμέρᾳ καὶ ὁ ἁγιασμὸς τῶν ἀζύμων, καὶ ἡ προετοιμασία τῆς ἑορτῆς ἐγίνετο. Ὅθεν ὁ Ἰωάννης ἐν ταύτῃ τῇ ἡμέρᾳ εἰκότως ὡς ἂν προετοιμαζομένους ἤδη ἀπονίψασθαι τοὺς πόδας πρὸς τοῦ κυρίου τοὺς μαθητὰς ἀναγράφει· πέπονθε δὲ τῇ ἐπιούσῃ ὁ σωτὴρ ἡμῶν, αὐτὸς ὢν τὸ πάσχα, καλλιερηθεὶς ὑπὸ Ἰουδαίων. καὶ μεθ' ἕτερα· ἀκολούθως ἄρα τῇ ιδ', ὅτε καὶ ἔπαθεν, ἔωθεν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τῷ Πιλάτῳ προσάγοντες οὐκ εἰσῆλθον εἰς τὸ Πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἀκωλύτως ἐσπέρας τὸ πάσχα φάγωσι. Ταύτῃ τῶν ἡμερῶν τῇ ἀκριβείᾳ καὶ αἱ γραφαὶ πᾶσαι συμφωνοῦσι, καὶ τὰ εὐαγγέλια συνῳδᾶ. Ἐπιμαρτυρεῖ δὲ καὶ ἡ ἀνάστασις. Τῇ γοῦν τρίτῃ ἀνέστη ἡμέρᾳ ἥτις ἐν πρώτῃ τῶν ἑβδομάδων τοῦ θερισμοῦ, ἐν ᾗ καὶ τὸ δράγμα νομοθετεῖτο προενεγκεῖν τὸν ἱερέα.

c) Hippolytus.

Ἱππόλυτος τοίνυν ὁ τῆς εὐσεβείας μάρτυς ἐπίσκοπος γεγονὼς τοῦ καλουμένου Πόρτου πλησίον τῆς Ῥώμης ἐν τῷ πρὸς ἁπάσας τὰς αἱρέσεις συντάγματι ἔγραψεν ἐπὶ λέξεως οὕτως· Ὁρῶ μὲν οὖν ὅτι φιλονεικίας τὸ ἔργον. Λέγει γὰρ οὕτως· ἐποίησε τὸ πάσχα ὁ Χριστὸς τότε τῇ ἡμέρᾳ, καὶ ἔπαθε· διὸ κἀμὲ δεῖ ὃν τρόπον ὁ Κύριος ἐποίησεν, οὕτω ποιεῖν. Πεπλάνηται δὲ μὴ γινώσκων, ὅτι ἐν ᾧ καιρῷ ἔπασχεν ὁ Χριστὸς οὐκ ἔφαγεν τὸ κατὰ νόμον πάσχα. Οὗτος γὰρ ἦν τὸ πάσχα τὸ προκεκηρυγμένον, καὶ τελειούμενον τῇ ὡρισμένῃ ἡμέρᾳ.

Digitized by Google

Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ πρώτῳ λόγῳ τοῦ περὶ τοῦ ἁγίου πάσχα συγγράμματος εἴρηκεν οὕτως· οὐδὲ ἐν τοῖς πρώτοις, οὐδ' ἐν τοῖς ἐσχάτοις ὡς οὐκ ἐψεύσατο, πρόδηλον, ὅτι ὁ πάλαι προειπὼν, ὅτι οὐκ ἔτι φάγομαι τὸ πάσχα, εἰκότως τὸ μὲν δεῖπνον ἐδείπνησε πρὸ τῶν πάσχα, τὸ δὲ πάσχα οὐκ ἔφαγεν, ἀλλ' ἔπαθεν. Οὐ γὰρ καιρὸς ἦν τῆς βρώσεως αὐτοῦ.

Beilage Nr. XV.

Zu §. 73. n. 3.

Leo Allatius, de hebdom. et domin. Graec. c. 22.

Dato signo a sacerdote circa auroram, conveniunt omnes, tam mares quam foeminae, et pueri ipsi, quilibet in suam Paroeciam, quam Graeci veluti matrem agnoscunt veneranturque; raroque alibi, nec nisi magna necessitate coacti, sacrum audiunt, aut reliquis officiis ecclesiasticis intersunt. Absolutis postmodum precibus matutinis, summa animi omnium alacritate, post dictum evangelium sacerdos in foribus Bematis stat, sacerdotalibus vestibus amictus, et manibus in pectore Evangeliorum librum clausum tenens; in cujus parte, quae respicit populum, Crux Domini argentea, vel ex alia materia, affixa est. Tum canitur Troparium: *Χριστὸς ἀνέστη ἐκ νεκρῶν θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.* Repetiturque donec cerimonia finiat. Interea primus dignitate accedens, post venerationem et oscula sacrarum imaginum, imaginem, quae in Evangelio est, deosculatur; tum ambabus manibus sacerdotem amplectens, ejus humeros deosculatur, dicens: *Χριστὸς ἀνέστη*; et ipse vicissim in faciem a sacerdote osculum accipiens respondente, *ἀληθῶς ἀνέστη*. Et sic coram sacerdote sistitur, et procedens alius, post sacerdotis

Digitized by Google

scula, alium stantem amplectitur, et mutuo amplexu alter alteri oscula impingit, verba eadem énuncians, et pedes primum manet. Sic advenit tertius, quartus; donec omnes, qui in ecclesia sunt, eadem peragant, osculo dato omnibus, acceptoque ab omnibus; quo finito a sacerdote populus maxima laetitia dimittitur. Foeminae in gynecejo inter se ipsas mutuis amplexibus, eadem verba, altera proponente, altera respondente, similia agunt, donec stantes stantibus omnes libentes, non sine complexu suavium dent accipiantque. Neque pueris hoc osculum denegatur; illi etenim, pleni gaudio, tumultuario quodam subsultu, totis parentes et amicos, et quos ipsi noverint, ulnis amplectentes, oscula capiunt et reddunt. Extra quoque ecclesiam per tres illos resurrectionis dies, et amplius, quicunque obvii facti fuerint, amplexu excepti, ad oscula mutua admittuntur, viri a viris, mulieres a mulieribus: pueri nullum servant ordinem. Et sic universus Christianorum coetus, depositis odiis, et osculo reconciliatus, uno dilectionis vinculo colligatur. Ut itaque antecedentes dies, ob mysteriorum multitudinem, magni ac sancti dicti sunt, ita et dominicus hic dies, magnus et sanctus dici meruit.

Beilage Nr. XVI.

Zu §. 79. n. 3.

Epistola *Joannis*, Episcop. Nicaeni. (Combefis. Auctar. Nov. Tom. II. p. 298.)

Ἰωάννου ἀρχιεπισκόπου Νικαίας περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ, πρὸς Ζαχαρίαν τὸν Καθολικὸν τῆς μεγάλης Ἀρμενίας.

— — — — ἡ ἀποστολικὴ διάταξις· Ἰακώβου τὸ ἐγγραμμα Ἰανουαρίου ς΄ περιέχον τοῦ τελεῖν τὴν γένεσιν καὶ τὸ βάπτισμα· ἡμεῖς δὲ, ὁ κόσμος ὅλος, συνε-

Digitized by Google

φωνήσαμεν μετ' ἀλλήλων ἀκολουθεῖν, ἵνα καὶ πάντες οἱ λαοὶ τελῶσι τὴν γέννησιν Δεκεμβρίῳ κέ, καὶ τὸ βάπτισμα, Ἰανουαρίῳ ς' — — — οἱ δὲ ἀπόστολοι οἱ ὄντες ἐκ τῶν μαθητῶν τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ, ὅτε ἤκουσαν τὴν μαρτυρίαν Ἰωάννου περὶ τοῦ κυρίου, πιστεύσαντες ἠκολούθησαν τῷ κυρίῳ· καὶ ὅτε εἶδον τὸν κύριον βαπτισθῆναι ἐν Ἰορδάνῃ, εἰς ἐκείνην τὴν ἡμέραν καὶ τὴν ἑορτὴν τοῦ βαπτίσματος κατέταξαν. ὁ δὲ Ἰάκωβος ὁ ἀδελφόθεος, ἐν Βηθλεὲμ παραγενόμενος ἐν τῇ γεννήσει τοῦ κυρίου, ὁ καὶ ἐν Ἱερουσαλὴμ λ' ἔτη ἐπισκοπήσας, οὐκ ἐκώλυσε τοὺς τελοῦντας τὴν γέννησιν· μᾶλλον δὲ ἐπαινῶν ἔλεγεν· ὅτι εἰς ἄλλην πόλιν τὴν γέννησιν τελοῦσιν. — — — Πλὴν διὰ τὴν γέννησιν τοῦ σωτῆρος, ὅτι πῶς διετάξαντο Δεκεμβρίῳ κέ τελεῖσθαι, οὕτως εὕρομεν. ἔγραψέ ποτε Κύριλλος, οὐχ ὁ γράψας τὴν ἐπιστολὴν Κωνσταντίνῳ, ἀλλ' ὁ μετ' ἐκεῖνον διαδεξάμενος τὸν θρόνον αὐτοῦ, πρὸς Ἰούλιον τὸν Ῥώμης ἐπίσκοπον ἔγραψε, λέγων· ὅτι μέγας κόπος καὶ στέρησις γὰρ εἰς τὰς μεγάλας καὶ λαμπρὰς ἑορτὰς, ὅτι τελοῦνται ἐν μιᾷ ἡμέρᾳ· καὶ τὰ ἀναγνώσματα, καὶ ἡ ἀκολουθία ἀπομένουσιν ἡμιτελῆ τῶν δύο ἑορτῶν, διὰ τὸ μὴ δύνασθαι τὴν γέννησιν καὶ τὸ βάπτισμα ἐκτελέσαι τοῦ κυρίου· ὡς δὴ οὐ δυνάμεθα ἐν μιᾷ ἡμέρᾳ ἀπαντῆσαι εἰς τύπον τοῦ βαπτίσματος· ἐπεὶ ἡ Βηθλεὲμ τρία μίλια ἀπέχει ἀπὸ Ἱερουσαλὴμ κατὰ νότον· καὶ ὁ Ἰορδάνης ιέ μίλια ἀπέχει κατὰ ἀνατολάς· προσταξάτω οὖν ἡ ἁγιωσύνη σου ἐρευνῆσαι πάντα τὰ συγγράμματα τῶν Ἰουδαίων, ἅτινα σκυλεύσας ὁ Καῖσαρ Τίτος, ἀπήγαγεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ῥώμην· ἴσως εὕροις βεβαίως τὴν ἡμέραν τῆς γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. τότε Ἰούλιος ὁ Ῥώμης ἐπιμενῶς ἐζήτει περὶ τῆς αἰτήσεως ταύτης· καὶ συναγαγὼν πάντα τὰ γράμματα τῶν Ἰουδαίων τὰ ἀγμαλωτισθέντα καὶ ἀχθέντα εἰς Ῥώμην, εὗρε σύγγραμμά τι Ἰωσήπφου τοῦ χρονογράφου συγγραφὲν παρ' αὐτοῦ ὅτι ἐν μηνὶ τῷ ζ ἐν τῇ ἑορτῇ τῆς σκηνοπηγείας εἰς τὴν ἡμέραν τοῦ ἱλασμοῦ ὤφθη ὁ ἄγγελος τοῦ Θεοῦ, καὶ κω-

φω-

Digitized by Google

φωθεὶς ὁ ἱερεὺς διέμεινεν ἄλαλος, ἕως οὗ ἔτεκεν ἡ γυνὴ αὐτοῦ Ἐλισάβετ ἐν γήρῃ. — — — ἐν αὐτῷ τῷ μηνὶ συνέλαβεν ἡ Ἐλισάβετ, τῇ δεκάτῃ τοῦ Τησιρὶν, ἐν ἡμέρᾳ τοῦ ἱλασμοῦ, καὶ τῇ κγ' τοῦ Σεπτεμβρίου μηνὸς, ἡ σύλληψις Ἰωάννου· καὶ τῇ δ' τοῦ Νεσὰν, Μαρτίου κε', ὁ εὐαγγελισμὸς τῆς θεοτόκου τῆς ἁγίας Μαρίας· καὶ τῇ ε' τοῦ Ταμνὶ, Ἰουνίου κδ', ἡ γέννησις τοῦ προδρόμου· καὶ τῇ θ' τοῦ Σαπὲτ, Δεκεμβρίου κε', ἡ γέννησις τοῦ Χριστοῦ, τοῦ μεγάλου Θεοῦ ἡμῶν, τοῦ σαρκωθέντος λόγου· καὶ οὕτως κατέθετο ὁ Ἰούλιος ὁ Ῥώμης πατριάρχης, τοὺς μῆνας τῶν Ἑβραίων καὶ τῶν Ῥωμαίων· ἐξ ἐκείνου δὲ ἔλαβεν ἀρχὴν ἑορτάζειν ἐν ἀγαλλιάσει τῶν Ῥωμαίων ἐκκλησία τὴν ἡμέραν τοῦ γενεθλίου τοῦ σωτῆρος, Δεκεμβρίου κε', καὶ παρέδωκε πάσαις ταῖς ἐκκλησίαις. ὁ δὲ ἅγιος Βασίλειος ἐν τῷ βιβλίῳ τῶν ἠθικῶν τὴν ἡμέραν τῆς γεννήσεως τοῦ σωτῆρος, Δεκεμβρίου κε'. συνέταξε δὲ Γρηγορίῳ τῷ Θεολόγῳ ἐν τῇ συνόδῳ τῇ ἐν Κωνσταντινουπόλει, ἐκθέσθαι καὶ τελεῖσθαι τὴν γέννησιν Δεκεμβρίου κε'. καί τινες οὐ συγκατέθεντο. — — — ὅτι δὲ ἐν τῷ Βυζαντίῳ ὁ μέγας Θεοδόσιος ἐβασίλευσε τὸν Ἀρκάδιον, καὶ τὸν Ὀνώριον ἐν Ῥώμῃ, ἐλθὼν Ὀνώριος ἐν τῷ Βυζαντίῳ εἰς ἔργον τι, διηγήσατο τῇ μητρὶ καὶ τῷ ἀδελφῷ, ὅτι πῶς οἱ Ῥωμαῖοι ἑορτάζουσι τὴν γέννησιν εἰς τὴν ἡμέραν αὐτῆς μετὰ ἀναγνωσμάτων τελείων, καὶ πολλῶν τροπαρίων καὶ στοιχαρίων· ὡσαύτως καὶ τὰ βαπτίσματα ἐν τῇ ἰδίᾳ ἡμέρᾳ, ὁλοκλήρως καὶ τελείως, δίχα παντὸς ὑστερήματος, κατακοσμοῦσι ποικιλοῦντες, καὶ οὐ δέχεται ἐλάττωμα ἑκατέρα ἑορτὴ ἐκ τῆς οἰκείας λαμπρότητος. ἐφάνησαν δὲ τὰ ῥήματα αὐτοῦ τοῦ Ὀνωρίου, ἐνώπιον τῆς μητρὸς αὐτοῦ καὶ Ἀρκαδίου τοῦ ἀδελφοῦ αὐτοῦ, ἀρεστὰ δεικνύουσι τὴν δύναμιν τοῦ ἔργου Ἰωάννῃ τῷ Χρυσοστόμῳ, τῷ ἁγίῳ πατριάρχῃ. αὐτὸς δὲ ἐν πολλῇ ἀγχινοίᾳ καὶ προθυμίᾳ δεξάμενος τὸν λόγον (ἐκ πολλοῦ χρόνου ἐπόθει τοῦ τελέσαι οὕτω τὴν ἑορτὴν), ἐχάρη. Ἄγουσιν ἐκ τοῦ Κύπρου τὸν μακάριον Ἐπιφάνιον, ὃς ἐκ τῆς τῶν Ἑβραίων

Digitized by Google

γραφῆς, καὶ Ἰωσήφου τοῦ χρονογράφου τῆς ἱστορίας, βεβαιώσας τὸν λόγον, ὥρισε τὴν γέννησιν τοῦ σωτῆρος Δεκεμβ. κέ. ἦν γὰρ ὁ ἀνὴρ τὸ πρὶν Ἰουδαῖος. καὶ ἄλλοι ἐπίσκοποι συναχθέντες, συνέταξαν τελεῖσθαι εἰς τὴν βασιλιδίπολιν Δεκεμβ. κέ, καθὼς καὶ ἡ μεγάλη Ῥώμη. ἀπέστειλαν δὲ γράψαντες πρὸς Θεόφιλον πατριάρχην Ἀλεξανδρείας, καὶ πρὸς Ἰωάννην τὸν πατριάρχην Ἱεροσολύμων, καὶ πρὸς Φλαβιανὸν πατριάρχην Ἀντιοχείας· καὶ οὗτοι οἱ τέσσαρες πατριάρχαι πεισθέντες, ἠκολούθησαν τῇ ἐκκλησίᾳ τῆς Ῥώμης. ἦν δὲ ἐν τοῖς καιροῖς ἐκείνοις ἐν τῇ Ῥώμῃ πατριάρχης Ἀναστάσιος. ὁ οὖν μιαρὸς Νεστόριος τότε οὐκ ἦν, οὐδὲ ὁ ἀσεβὴς Εὐτυχής· λοιπὸν μετὰ τοῦτο μαθόντες καὶ παιδευθέντες, οἱ ἐκ τῆς δαιμονικῆς ἐκκλησίας διὰ τούτων τὴν ἑορτὴν τῆς ἁγίας γεννήσεως, ἀκολούθως κοινῶς ἑορτάζουσι πάντες, οἱ Ἀποσχίσται, Νεστοριανοὶ, Ἰακωβῖται, Ἰουλιανίται, καὶ Μαριανοὶ, καὶ Γαϊανίται, καὶ Σεβηριανοὶ, εἰ καὶ ἐν ταῖς λοιπαῖς ἀκολουθίαις διῃρημένοι εἰσὶ πλανώμενοι. ——

Beilage Nr. XVII.

Zu §. 79. n. 3.

Supplementum ad Epist. *Joann.* Nic. bei Cotel. in den Annotatt. ad Constit. App. V, 13.

Τῷ πρὸ τούτου καιρῷ, ἐν μιᾷ ἡμέρᾳ ἑόρταζον οἱ Χριστιανοὶ Χριστοῦ γένναν καὶ φῶτα. ἔγραψε δὲ ὁ πατριάρχης Ἱεροσολύμων Ἰουβενάλιος τῷ πάπᾳ Ῥώμης Ἰουλίῳ περὶ τούτου, ὅτι οὐ δύναμαι ἐν μιᾷ ἡμέρᾳ ἀπαντῆσαι εἰς Βηθλεὲμ καὶ εἰς Ἰορδάνην. καὶ γὰρ Ἰορδάνης ἀπέχει τῆς πόλεως Ἱερουσαλὴμ κατὰ ἀνατολὰς μίλια εἴκοσι πέντε, ἡ δὲ ἁγία Βηθλεὲμ κατὰ νότον τῆς πόλεως μίλια ἕξ· καὶ οὐ δύναμαι ἐν μιᾷ ἡμέρᾳ τὰς δύο ἑορτὰς ἀποτελεῖν· παρακαλῶ οὖν τὴν σὴν ὁσιότητα, πάτερ, ἵνα ἐρευνήσῃς τὰ ὑπομνήματα, καὶ δώσῃς ἡμῖν ἐν ἀκριβεῖ ἐρεύνᾳ διὰ γραφῆς σου, τίμιε, τὴν περὶ τούτου εὕρεσιν, ἐν ποίᾳ ἡμέρᾳ ἐτέχθη Χριστὸς ὁ κύριος, καὶ ἐν

Digitized by Google

ποίᾳ ἡμέρᾳ ἐβαπτίσθη. ὡς γὰρ ἀκριβῶς ἔγνωμεν, ὅτι τὰ ἐξαρχῆς ὑπομνήματα ἐξ Ἱεροσολύμων ἐν τῇ Ῥώμῃ ἠνέχθησαν ὑπὸ Τίτου καὶ Οὐεσπασιανοῦ· ταύτην τὴν γραφὴν δεξάμενος Ἰούλιος ὁ πάπας Ῥώμης, ἐρευνήσας τὰ ὑπομνήματα, εὗρεν ὅτι τῇ εἰκοστῇ πέμπτῃ τοῦ Δεκεμβρίου ἐγεννήθη ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ μετὰ τριάκοντα χρόνους τῆς αὐτοῦ γεννήσεως ἐβαπτίσθη ὑπὸ Ἰωάννου ἐν τῷ Ἰορδάνῃ ποταμῷ, τῇ ἕκτῃ τοῦ Ἰανουαρίου μηνός· κατὰ τὴν ἔρευναν οὖν ταύτην χωρίσαντες οἱ πατέρες τὴν ἑορτήν, γογγυσμὸς ἦν ἐν τοῖς πολλοῖς. ἦν δὲ τῷ τότε καιρῷ καὶ Γρηγόριος ὁ θεολόγος ἐν τῇ Κωνσταντινουπόλει, καὶ ἦν τοῖς πολίταις γογγυσμὸς οὐκ ὀλίγος, ὡς τεμόντος τὴν ἑορτήν· λέγοντες, ὅτι ἔτεμες τὴν ἑορτὴν καὶ εἰς πολυθείαν ἡμᾶς ἐνέβαλες. διὰ τοῦτο αὐτὸς τὸν λόγον τοῦτον τέθηκεν, ὅτι πάλιν τὸν Χριστὸν ἑορτάζων κηρύσσω, οὐ τὰ τῶν Ἑλλήνων· μάταια γάρ εἰσι καὶ ψευδόπλαστα καὶ μύθους καλῶ ταῦτα, καὶ πᾶς ἐχέφρων. καὶ ἕνεκεν τῆς αἰτίας ταύτης ἐστηλίτευσε ταῦτα ὁ θεολόγος Γρηγόριος, τὴν αὐτῶν ἀνδράνοιαν δηλοποιῶν, καὶ τὴν ἀγνωσίαν τῶν ἀνθρώπων, ὅτι μύθοις καὶ φάσμασι προσεῖχον, καὶ σκιᾷ ἐπλανῶντο, καὶ τὴν πλάνην αὐτῶν καύχημα τῆς ἀπωλείας εἶχον. ἡμεῖς δὲ Χριστὸν τὸν Θεὸν ἡμῶν ἐν τρισὶν ὑποστάσεσιν ἀδιαιρέτως προσκυνοῦντες, θεὸν καὶ ἄνθρωπον αὐτὸν δογματίζοντες, δοξάζωμεν, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ —

Beilage Nr. XVIII.

Zu §. 86. n. 1.

Prudentius, hymn. epiphaniae. Cathemerin. hymn. XII. v 125—144. (Opp. T. I. p. 92.)

Salvete flores Martyrum,
Quos lucis ipso in lumine
Christi insecutor sustulit,
Ceu turbo nascentes rosas.

Digitized by Google

Vos prima Christi victima,
Grex immolatorum tener,
Aram ante ipsam simplices
Palma et coronis luditis.

Quo proficit tantum nefas?
Quid crimen Herodem juvat?
Unus tot inter funera
Impune Christus tollitur.

Inter coëvi sanguinis
Fluenta solus integer:
Ferrum, quod orbabat nurus,
Partus fefellit Virginis.

Sic stulta Pharaonis mali
Edicta quondam fugerat
Christi figuram praeferens
Moses, receptor civium. — —

Beilage Nr. XIX.

Zu §. 96. n. 5.

Ambrosii Mediol. hymni genuini. (Opp. T. II.)

Hymnus IV.

Veni redemtor gentium
Ostende partum Virginis,
Miretur omne saeculum:
Talis decet partus Deum.

Non ex virili semine
Sed mystico spiramine
Verbum Dei factum caro,
Fructusque ventris floruit.

Alvus tumescit Virginis
Claustrum pudoris permanet,

Digitized by Google

Vexilla virtutum micant,
Versatur in templo Deus.

Procedens de thalamo suo,
Pudoris aula regia
Geminae Gigas substantiae,
Alacris ut currat viam.

Egressus ejus a Patre,
Regressus ejus ad Patrem,
Excursus usque ad inferos,
Recursus ad sedem Dei.

Aequalis aeterno Patri
Carnis trophaeo accingere
Infirma nostri corporis
Virtute firmans perpeti.

Praesepe jám fulget tuum,
Lumenque nox spirat novum,
Quod nulla nox interpolet
Fideque jugi luceat.

Hymnus V.

Illuminans altissimus
Micantium astrorum globos,
Pax, vita, lumen, veritas,
Jesu fave precantibus.

Seu mystico baptismate
Fluenta Jordanis retro
Conversa quondam tertio
Praesente sacraris die.

Seu stella partum Virginis
Caelo micans signaveris,
Et hac adoratum die
Praesepe Magos duxeris.

Digitized by Google

Vel hydriis plenis aquae
Vini saporem infuderis:
Hausit minister conscius,
Quod ipse non impleverat.

Aquas colorari videns,
Inebriare flumina,
Mutata elementa stupent
Transire in usus alteros.

Sic quinque millibus viris
Dum quinque panes dividis,
Edentium sub dentibus
In ore crescebat cibus.

Multiplicabatur magis
Dispendio panis suo
Quis haec videns mirabitur
Juges meatus fontium?

Inter manus frangentium
Panis rigatur profluus.
Intacta quae non fregerant,
Fragmenta subrepunt viris.

Hymnus VIII.

Aeterna Christi munera
Et martyrum victorias,
Laudes ferentes debitas,
Laetis canamus mentibus.

Ecclesiarum principes,
Belli triumphales duces,
Caelestis aulae milites,
Et vera mundi lumina.

Terrore victa saeculi
Spretisque poenis corporis,

Digitized by Google

Mortis sacrae compendio,
Vitam beatam possident.

Traduntur igni martyres,
Et bestiarum dentibus,
Armata saevit ungulis
Tortoris insani manus.

Nudata pendent viscera,
Sanguis sacratus funditur,
Sed permanent immobiles
Vitae perennis gratia.

Devota sanctorum fides,
Invicta spes credentium;
Perfecta Christi caritas,
Mundi triumphat principem.

In his paterna gloria,
In his voluntas filii,
Exsultat in his Spiritus,
Caelum repletur gaudiis.

Te nunc, redemtor, quaesumus,
Ut ipsorum consortio
Jungas precantes servulos,
In sempiterna saecula. Amen.

Hymnus XI.

O lux beata Trinitas
Et principalis unitas,
Jam sol recedit igneus,
Infunde lumen cordibus.

Te mane laudum carmine
Te deprecamur vespere,
Te nostra supplex gloria,
Per cuncta laudet saecula.

Digitized by Google

Beilage Nr. XX.

Zu §. 96. n. 6.

Hymnus des Clemens v. Alexandria. (Opp. T. I. p. 311)

Στόμιον πώλων ἀδαῶν,
Πτερὸν ὀρνίθων ἁπλανῶν,
Οἴαξ νηπίων ἀτρεκὴς,
Ποιμὴν ἀρνῶν βασιλικῶν·
Τοὺς σοὺς ἀφελεῖς
Παῖδας ἄγειρον,
Αἰνεῖν ἁγίως,
Ὑμνεῖν ἀδόλως
Ἀκάκοις στόμασιν
Παίδων ἡγήτορα Χριστόν.

Βασιλεῦ ἁγίων,
Λόγε πανδαμάτωρ
Πατρὸς ὑψίστου,
Σοφίας πρύτανι,
Στήριγμα πόνων
Αἰωνοχαρὲς,
Βροτέας γενεᾶς
Σῶτερ Ἰησοῦ,
Ποιμὴν, ἀροτὴρ,
Οἴαξ, στόμιον,
Πτερὸν οὐράνιον
Παναγοῦς ποίμνης·
Ἁλιεῦ μερόπων
Τῶν σωζομένων,
Πελάγους κακίας
Ἰχθῦς ἁγνοὺς
Κύματος ἐχθροῦ
Γλυκερῇ ζωῇ δελεάζων·
Ἡγοῦ, προβάτων
Λογικῶν ποιμήν·

Digitized by Google

Ἅγιε ἡγοῦ
Βασιλεῦ παίδων ἀνεπάφων.
Ἴχνια Χριστοῦ,
Ὁδὸς οὐρανία,
Λόγος ἀέναος,
Αἰὼν ἄπλετος,
Φῶς ἀΐδιον,
Ἐλέους πηγὴ,
Ῥεκτὴρ ἀρετῆς·
Σεμνὴ βιοτὴ
Θεὸν ὑμνούντων, Χριστὲ Ἰησοῦ,
Γάλα οὐράνιον
Μαστῶν γλυκερῶν
Νύμφης χαρίτων,
Σοφίας τῆς σῆς ἐκθλιβόμενον.
Οἱ νηπίαχοι
Ἀταλοῖς στόμασιν
Ἀτιταλλόμενοι,
Θηλῆς λογικῆς
Πνεύματι δροσερῷ
Ἐμπιπλάμενοι,
Αἴνους ἀφελεῖς,
Ὕμνους ἀτρεκεῖς,
Βασιλεῖ Χριστῷ,
Μισθοὺς ὁσίους
Ζωῆς διδαχῆς,
Μέλπωμεν ὁμοῦ,
Μέλπωμεν ἁπλῶς,
Παῖδα κρατερόν·
Χορὸς εἰρήνης
Οἱ Χριστόγονοι,
Λαὸς σώφρων,
Ψάλωμεν ὁμοῦ Θεὸν εἰρήνης. *)

*) Die Beilage Nr. XXI. mußte, wegen der auf S. 442 folgenden Tabelle, hinter Beilage Nr. XXII., S. 460, gestellt werden.

Digitized by Google

Beilage

Zu §. 98.

Vergleichung der Lectionen des Altgallischen Lectionars, de
miliarum Carls), der Lectionen des Comes, un

Feste u. Sonnt.	Lection. Gallicanum.	Lection. Rom.
Dom. I. Adv.	— — —	Mtth. XXI, 1 ff.
Dom. II. Adv.	— — —	Luc. XXI, 25 ff.
Dom. III. Adv.	— — —	Mtth. XI, 2 ff.
Dom. IV. Adv.	— — —	Joann. I, 19 ff. Marc. I, 1 ff.
Vigil. Nativit. Dom.	Jes. XLIV, 23 — 46. Jes. LIV, 1 — LVI, 7. Malach. II, 7 — 4 6. Joann. I, 1 — 15.	Mtth. I, 18 ff. Luc. II, 1 — 14 ff. oder 15 ff.
Fest. Nativit.	Jes. VII, 10 — IX, 8. Hebr. I, 1 — 13. Luc. II, 1 — 19.	Joann. I, 1 ff.
Fest. Steph.	Jerem. XVII, 7 — 18. Act. VI, 1 — VIII, 2. Mtth. XVII, 23 - XVIII, 11.	Mtth. XXIII, 34 ff.
Fest. Joann. Evang.	Apoc. XIV, 1 — 7. Marc. X, 35 ff.	Joann. XXI, 19 ff.
Fest. Innocent.	Jerem. XXXI, 15 — 20. Apoc. VI, 9 — 11. Mtth. II.	Mtth. II, 13 ff.
Dom. intra Oct. nat. Chr.	— — —	Luc. II, 33. ff.

Digitized by Google

Nr. XXII.

10. f.

Römischen Lectionen des 6ten Jahrhunderts (nach dem Ho-
er Spanischen (nach dem Mostarab. Missale).

Comes.	Lect. Hispan.
Rom. XIII, 11 *) ff. Mtth. XXI, 1 ff.	Jes. X, 33. 34. XI, 1 — 10. Rom. XV, 14 — 29. Luc. III, 1 — 18.
Rom. XV, 4 ff. Luc. XXI, 25 ff.	Jes. LI, 7 — 12. Rom. XIII, 1 — 8. Mtth. XI, 2 — 15.
1 Cor. IV, 1 ff. Mtth. XI, 2 ff.	Jes. LI, 1 — 6. Rom. XI, 25 — 36. Mtth. XXI, 1 — 17.
Phil. IV, 4 ff. Joann. I, 19 ff.	Jes. XXIV, 16 — 23. 1 Cor. XV, 22 — 31. Marc. XII, 38 — XIII, 33.
Jes. LXII, 1 ff. Rom. I, 1 ff.	— — —
Hebr. I, 1 ff. Joann. I, 1 ff.	Jes. IX, 1 — 7. Hebr. I, 1 — 12. Luc. II, 6 — 20.
Act. VI, 8 ff. Mtth. XXIII, 34 ff.	Sap. Salom. IV, 7 — 15. Act. app. VI, 1 — VIII, 4. Mtth. XXIII.
Sirac. XV, 1 ff. Joann. XXI, 19 ff.	Sap. Salom. X, 9 — 18. 1 Thessal. IV, 12 — 16. Joann. XXI, 15 — 24.
Apoc. XIV, 1 ff. Mtth. II, 13 ff.	Jerem. XXXI, 15 — 20. 2 Cor. I, 2 — 7. Mtth. XVIII, 1 — 11.
Gal. IV, 1 ff. Luc. II, 33 ff.	— — —

*) Dom. V. ante nat. Dom. Lect. Jerem. XXIII, 5 ff. Joann. VI, 5 ff

Digitized by Google

Feste u. Sonnt.	Lection. Gallicanum.	Lection. Rom.
Fest. circumcis.	Jes. XLIV, 24 — 45 ff Jes. I, 10 — 20. 1 Cor. X, 14 — 31. Luc. II, 21 — 46.	Luc. II, 21 ff.
Dom. post circumcis.	Ezech. XLIII, 18 - XLIV, 4. Eph. I, 3 — 14. Mtth. IX, 2 — 35.	— —
Vigil. Epiph.	— — —	Mtth. II, 19 ff.
Epiph. Dom.	Jes. LX, 1 — 16. Tit. I, 11 — II, 7. Mtth. III, 13 — 17. Luc. III, 23. Joann. II, 1 - 11.	Mtth. II, 1 ff.
Octav. Epiph.	— — —	Mtth. III, 1 ff.
Dom. I. post Epiph.	Jes. VI, 1 — 10. 1 Cor. I, 6 — 31. Luc. IV, 16 — 22.	Luc. II, 41 ff.
Dom. II. post Epiph.	Jerem. XVI, 9 — 15. 1 Cor. X, 1 — 13. Mtth. XXII, 36 - XXIII, 12.	Joan. II, 1 ff.
Dom. III. post Epiph.	— — —	Mtth. VIII, 1 ff.
Dom. IV. post Epiph.	— — —	Mtth. VIII, 23 ff.
Fest. purific. Mariae.	— — —	Luc. II, 22 ff.
Dom. V. post Epiph.	— — —	Mtth. XI, 25 ff.
Septuagesima.	— — —	Mtth. XX, 1 ff.
Sexagesima.	— — —	Luc. VIII, 4 ff.

Digitized by Google

Comes.	Lect. Hispan.
Gal. III, 23 ff.	Jes. XLVIII, 12 — 20.
Luc. II, 21 ff.	Philipp. III, 1 — 8.
	Luc. II, 21 — 40.
— — —	Jes. XLIX, 1 — 6.
	Hebr. VI, 13 — VII, 3.
	Joann. I, 1 — 17.
— — —	— — —
Jes. LX, 1 ff.	Jes. LX, 1 — 19.
Mtth. II, 1 ff.	Gal. III, 27 — IV, 7.
	Mtth. II.
Jes. XXV, 1 ff. Jes. LXI, 1 ff.	— — —
Joann. I, 29 ff.	
Rom. XII, 1 ff.	Jes. LII, 1 — 10.
Luc. II, 41 ff.	Rom. I, 1 — 17.
	Luc. II, 42 — 51.
Rom. XII, 6 ff.	Jes. LXV, 17 — 24.
Joan. II, 1 ff.	Rom. VI, 12 — 18.
	Luc. IV, 14 — 22.
Rom. XII, 7 ff.	Jes. LXVI, 1 — 14.
Mtth. VIII, 1 ff.	Rom. VI, 19 — 23.
	Luc. XI, 29 — 41.
Rom. XIII, 8 ff.	Jerem. XXXI, 31 — 34.
Mtth. VIII, 23 ff.	Rom. VII, 14 — 25.
	Luc. XII, 10 — 31.
Sir. XXIV, 23 ff.	Malach. III, 1 — 4.
Malach. III, 1 ff.	Philipp. III, 1 — 18.
Luc. II, 22 ff.	Luc. II, 22 — 40.
Col. III, 12 ff.	Jerem. XXXI, 10 — 14.
Mtth. XI, 25 ff.	Rom. VIII, 3 — 11.
	Luc. XII, 54 — XIII, 17.
1 Cor. IX, 24 ff.	Jerem. III, 22 — IV, 2.
Mtth. XX, 1 ff.	1 Cor. I, 10 — 17.
	Luc. XIV, 26 — 35.
2 Cor. XI, 19 ff.	Jerem. VII, 1 — 7.
Luc. VIII, 4 ff.	1 Cor. II, 10 — III, 6.
	Luc. XV, 11 — 32.

Digitized by Google

Feste u. Semt.	Lection. Gallicanum.	Lection. Rom.
Quinquages.	— — —	Luc. XVIII, 31 ff.
Dies cinerum.	— — —	Mtth. VI, 16 ff.
Dom. I. Quadrages.	Jes. LVIII, 1 — 14. 2 Cor. VI, 2 ff.	Mtth. IV, 1 ff.
D. II. Quadrages.	— — —	Mtth. XV, 21 ff.
D. III. Quadrages.	— — —	Luc. XI, 14 ff.
D. IV. Quadrages.	— — —	Joann. VI, 1 ff.
D. V. Quadrages.	— — —	Joann. VIII, 46 ff.
Vigil Palmar.	— — —	Joann. XVI, 1 ff.
Dies Palmar.	Jer. XXXI, 1 — 34. Hebr. XI, 3 — 34. Joann. XII, 1 — 24.	Mtth. XXI, 1 ff.
Fer. II. Hebd. magn.	Daniel. IX, 20 — 27.	— —
Fer. III. Hebd. magn.	Jerem. XVIII, 11 — 23. Jerem. XIX, 7 — 13.	— —
Fer. IV. Hebd. magn.	Thren. III, 1 — 22.	— —
In Coen. Dom.	Exod. XII, 1 — XX, 20. Mtth. XXVI, 2 — 5.	Joann. XIII, 1 ff.

Digitized by Google

Comes.	Lect. Hispan.
1 Cor. XIII, 1 ff. Luc. XVIII, 31 ff.	Jer. XVII, 7-13. XIV, 18-21. 1 Cor. XII, 27 — XIII, 8. Luc. XVI, 1 — 15.
Joel. II, 12 ff. Mtth. VI, 16 ff.	Proverb. I, 23 — 32. Jacob. I, 13 — 21. Mtth. IV, 1 — 11.
2 Cor. VI, 1 ff. Mtth. IV, 1 ff.	Jes. LV, 2 — 13. 2 Cor. V, 20 — VI, 10. Joann. IV, 5 — 42.
1 Thess. IV, 1 ff. Mtth. XV, 21 ff.	Prov. XIV, 33 — XV, 8. Gen. XLI. Jac. II, 14 — 23. Joann. IX, 1 — 38.
Eph. V, 1 ff. Luc. XI, 14 ff.	Prov. XX, 17-28. Num. XXII. 1 Petr. I, 1 — 12. Joann. XI, 1 — 52.
Gal. IV, 22 ff. Joann. VI, 1 ff.	Sir. XIV, 11 — 21. 1 Sam. I. 2 Petr. I, 1 — 11. Joann. VII, 2 — 24.
Hebr. IX, 11 ff. Joann. VIII, 46 ff.	Sir. XLVII, 24 — 31. 1 Sam. XXVI. 1 Joann. I, 1 — 7. Joann. X, 1 — 16.
— — —	— — —
Phil. II, 5 ff. Marc. XI, 1 ff. Mtth. XXVI, 1 ff.	Sir. III, 2 — 17. Deuter. II. Galat. I, 1 — 12. Joann. XI, 55 — XII, 13.
Jes. L, 5 ff. Zach. XI, 12 ff. Joann. XII, 1 ff.	— — —
Jerem. XI, 18 ff. Sap. II, 12 ff. Marc. XIV, 1 ff.	— — —
Jes. LXII, 11 ff. Jes. LIII, 1 ff. Luc. XXII, 1 ff.	Sir. XLVI, 6-8. XLVIII, 1-15. 4 Reg. II. 1 Joann. II, 12-17. Mtth. XXVI, 2 — 16.
1 Cor. XI, 20 ff. Joann. XIII, 1 ff.	Sapient. I, 13 — II, 1. u. 12 — 23. III, 9-12. IV, 10. 14. 15. Jer. XI. 1 Cor. XI, 20 — 34. Luc. XXII, 7 — 62.

Digitized by Google

Feste u. Sonnt.	Lection. Gallicanum.	Lection. Rom.
Parasceve.	Abwechselnd die Leidensgeschichte (synopt.) mit prophetischen Lectionen. Jes. LII, 13 — LIII, 12. Jer. XI, 15-20. XII, 7-9. Amos. VIII, 4 — 11.	— —
Sabb. magn.	Gen. VII, 10 — VIII, 21. XXII, 1-19. XXVII, 1-40. Exod. XII, 1 — 50. XIII, 18 — XIV. Exod. XV. Ezech. XXXVII, 1 — 14. Jes. I, 1 ff. Jos. III u. IV. Jonas. I. Dan. III. Rom. VI, 3-12. Mtth. XXVIII.	Mtth. XXVIII, 1 ff.
Pascha.	1 Cor. XV. Luc. XXIV, 1 ff.	Marc. XVI, 1 ff.
Fer. II.	Apoc. I. u. II, 1 — 7. Act. II, 14 — 40. Marc. XV, 47 — XVI, 11.	Luc. XXIV, 13 ff.
Fer. III.	Apoc. II, 8 — 17. Act. I, 15 — 26.	Luc. XXIV, 36 ff.
Fer. IV.	Act. XV, 1 — 13. 1 Cor. XV, 47 — 56. Joann. XI, 1 — 45.	Joann. XXI, 1 ff.
Fer. V.	Apoc. XIV, 1 — 7. Act. III, 1 — 19. Joann. XX, 1 — 9.	Joann. XX, 11 ff.
Fer. VI.	Apoc. XIX, 5 — 16. Act. V, 17 — 41. Joann. XX, 11 — 18.	Mtth. XXVIII, 16 ff.
Sabb. Pasch.	Apoc. XXI, 1 — 8. 1 Cor. XV, 31 — 45. Joann. XXI, 1 — 14.	— —
Octav. Pasch.	Jes. LXI, 1 — 7. 1 Cor. XV, 12 — 28. Joann. XX, 19 ff.	Joann. XX, 19 ff.

Co-

Digitized by Google

Comes.	Lect. Hispan.
Hos. VI, 1 ff.	Jes. LII, 13 — LIII, 12.
Exod. XII, 2 ff.	Prov. III, 24 — 26.
Joann. XVIII, 1 ff.	1 Cor. V, 6 - VI, 11.
	Mtth. XXVII, 1 — 54.
	Joann. XIX, 31 — 35.
Genesis. I. V. XXII.	Gen. I. V. XXII.
Exod. XII. XIV. Jes. LV.	Exod. XII. IV. Jes. II.
Baruch. III. Ezech. III.	Ezech. XXXVII. Abac. I.
Jes. IV. Jon. I.	Jon. I. Dan. III.
Deut. XXXI. XXXII.	Rom. VI, 1 — 11.
Dan. III. Ψ. XLII.	Mtth. XXVIII.
Col. III. Mtth. XXVIII.	
1 Cor. V, 7 ff.	Apocal. I, 1 — 8.
Marc. XVI, 1 ff.	Act. II, 14 — 39.
	Joann. XX, 1 — 18.
Act. II, 14 ff.	Apocal. II, 1 — 7.
Luc. XXIV, 13 ff.	Act. I, 15 — 26.
	Marc. XVI, 9 — 20.
Act. XIII, 26 ff.	Apoc. II, 8 — 11.
Luc. XXIV, 36 ff.	Act. II, 42 — fin.
	Luc. XXIV, 13 — 35.
Act. XIII, 16 ff.	Apoc. II, 12 — 17.
Joann. XXI, 1 ff.	Act. III, 1 — 9.
	Luc. XXIV, 36 — 46.
Act. VIII, 26 ff.	Apoc. II, 18 — 29.
Joann. XX, 11 ff.	Act. III, 12 — 29.
	Luc. XXIV, 46 — fin.
1 Petr. III, 18 ff.	Apoc. III, 1 — 6.
Mtth. XXVIII, 16 ff.	Act. III, 19 — 26.
	Joann. XXI, 1 — 14.
1 Petr. II, 1 ff.	Apoc. III, 14 — 22.
Joann. XX, 1 ff.	Act. VIII, 26 — 40.
	Joann. XXI, 15 — 19.
Joann. V, 4 ff.	Apoc. V, 1 — 13.
Joann. XX, 19 ff.	Act. XIII, 26 — 39.
	Joann. XX, 19 — 31.

Digitized by Google

Feste u. Sonnt.	Lection. Gallicanum.	Lection. Rom.
Dom. II. post Pasch.	— — —	Joann. X, 12 ff.
D. III. p. P.	— — —	Joann. XVI, 16 ff.
D. IV. p. P.	Luc. XVI, 22 — 31.	Joann. XVI, 5 ff
D. V. p. P.	Act. XVI, 19 — 36 Marc. VII, 31 — 37.	Joann. XVI, 23 ff.
Dies Rogationum. (Litania)	*)	Luc. XI, 5 ff.
Vig. Ascens.	— — —	Joann. XVII, 1 ff.
Ascensio.	Act. I, 1 — 11. Eph. IV, 1 — 13. Joann. XIII, 33 — 35. XIV, 1 — 14. Luc. XXIV, 49 — 53.	Marc. XVI, 14 ff.
Dom. p. Asc.	Act. XVIII, 22 — XIX, 12. Joann. XVII, 1 — 26.	Joann. XV, 26 ff.
Vig. Pentec.	— — —	Joann. XIV, 15 ff.
Pentecoste.	Joel. II, 21 — 32. Act. II, 1 — 21. Joann. XIV, 16 — 29.	Joann. XIV, 23 ff.
Octav. Pentec.	Gal. VI, 8 — 14. Mtth. XVI, 24 — 27.	Joann. III, 1 ff.

*) Erster Tag: Daniel. IX, 2 — 19. Der Brief Jacobi. Mtth. V, 17 — 26. Der erste Brief Petr. Mtth. VII, 1 — 12. Das Buch Tobiä. Mtth. VI, 1 — 13. Zweiter Tag: Joel I, 13—II, 11. Der 2te Brief Petri. Mtth. XIII, 2 — 23. Der 1ste Br. Joh.

Digitized by Google

Comes.	Lect. Hispan.
1 Petr. II, 21 ff. Joann. X, 12 ff.	Apoc. III, 1 — 6. Act. IV, 5 — 12. Joann. V, 1 — 18.
1 Petr. II, 11 ff. Joann. XVI, 16 ff.	Apoc. XIV, 1 — 7. Act. IV, 13 — 22. Joann. IV, 45 — 54.
Jac. I, 17 ff. Joann. XVI, 5 ff.	Apoc. XIX, 11 — 16. Act. IV, 23 — 31. Luc. VIII, 40 — IX, 2.
Jac. I, 22 ff. Joann. XVI, 23 ff.	Apoc. XXII, 1 — 5. Act. V, 12 — 32. Marc. II, 13 — 22.
Jac. V, 16 ff. Luc. XI, 6 ff.	— — —
Eph. IV, 7 ff. Joann. XVII, 1 ff.	— — —
Act. I, 1 ff. Marc. XVI, 14 ff.	Apoc. IV. Act. I, 1 — 11. Joann. XVI, 5 — 22.
1 Petr. IV, 11 ff. Joann. XV, 26 ff.	Apoc. VII, 9 — 12. Act. XIV, 7 — 16. Marc. IX, 13 — 28.
Gen. I. XXII. Exod. XV. Deut. XXXI. Jes. IV. Jerem. III. Ψ. XLII. Act. XIX. Jo. XIV.	Num. XI, 16 — 29. Act. XIX, 1 — 6. Joann. III, 1 — 18.
Act. II, 1 ff. Joann. XIV, 23 ff.	Apoc. XXII, 6 — 17. Act. II, 1 — 21. Joann. XIV, 15 — 27.
Apoc. IV, 1 ff. Act. V, 29 ff. Joann. III, 1 ff.	Ezech. IX, 11. X. XI, 1. 23. Eph. I, 16 — II, 10. Luc. XIX, 1 — 16.

Luc. XII, 15 — 31. Das Buch Judith. Mtth. V, 31 — 48. Dritter Tag: Hos. V, 1 — VI, 6. Der 2te u. 3te Br. Joh. (ausgenommen V. 13. 14). Mtth. IV, 13 — 17. XI, 28 — 38. Der Brief Judä. Mtth. XXI, 28 — 32. Das Buch Esther. Mtth. VI, 14 — 33.

Digitized by Google

Feste u. Sonnt.	Lection.	Gallicanum.		Lection. Rom.
Dom. II. post Pentec.	—	—	—	Luc. XVI, 1 ff.
D. III. p. P.	—	—	—	Luc. XIV, 16 ff.
D. IV. p. P.	—	—	—	Luc. XV, 1 ff.
D. V. p. P.	—	—	—	Luc. VI, 36 ff.
D. VI. p. P.	—	—	—	Luc. V, 1 ff.
D. VII. p. P.	—	—	—	Mtth. V, 20 ff.
D. VIII. p. P.	—	—	—	Marc. VIII, 1 ff.
D. IX. p. P.	—	—	—	Mtth. VII, 15 ff.
D. X. p. P.	—	—	—	Luc. XVI, 1 ff.
D. XI. p. P.	—	—	—	Luc. XIX, 41 ff.
D. XII. p. P.	—	—	—	Luc. XVIII, 9 ff.
D. XIII. p. P.	—	—	—	Marc. VII, 31 ff.
D. XIV. p. P.	—	—	—	Luc. X, 23 ff.
D. XV. p. P.	—	—	—	Luc. XVII, 11 ff.
D. XVI. p. P.	—	—	—	Mtth. VI, 24 ff.

Digitized by Google

Comes.	Lect. Hispan.
1 Joann. IV, 8 ff. Luc. XVI, 1 ff.	Jerem. XVIII, 1 — 16. 1 Cor. XIV, 26 — 40. Mtth. IV, 18 — 25.
1 Joann. III, 13 ff. Luc. XIV, 16 ff.	Jerem. XXXIII, 3 — 11. 2 Cor. III, 4 — IV, 6. Mtth. VIII, 23 — 27.
1 Petr. V, 6 ff. Luc. XV, 1 ff.	Jes. XLIII, 16 — 25. Gal. III, 13 — 26. Mtth. XII, 30 — 50.
Rom. VIII, 18 ff. Luc. VI, 36 ff.	Jes. XL. 26 — 31. Phil. II, 5 — 18. Mtth. VIII, 28 — IX, 8.
1 Petr. III, 8 ff. Luc. V, 1 ff.	Jer. XXI, 13 — XXII, 4. XXV, 3 — 6. 1 Cor. III, 18 — IV, 5. Mtth. XIII, 3 - 23.
Rom. VI, 3 ff. Mtth. V, 20 ff.	Jer. XXII, 13. 17. XXIII, 1 - 4 1 Cor. I, 18 — II, 9. Mtth. XIII, 24 — 43.
Rom. VI, 19 ff. Marc. VIII, 1 ff.	— — —
Rom. VIII, 12 ff. Mtth. VII, 15 ff.	— — —
1 Cor. X, 6 ff. Luc. XVI, 1 ff.	— — —
1 Cor. XII, 2 ff. Luc. XIX, 41 ff.	— — —
1 Cor. XV, 1 ff. Luc. XVIII, 9 ff.	— — —
2 Cor. III, 4 ff. Marc. VII, 31 ff.	— — —
Gal. III, 16 ff. Luc. X, 23 ff.	— — —
Gal. V, 16 ff. Luc. XVII, 11 ff.	— — —
Gal. V, 26 ff. Mtth. VI, 24 ff.	— — —

Digitized by Google

Feste u. Sonnt.	Lection. Gallicanum.			Lection. Rom.
D. XVII. p. P.	—	—	—	Luc. VII, 11 ff.
D. XVIII. p. P.	—	—	—	Luc. XIV, 1 ff.
D. XIX. p. P.	—	—	—	Mtth. XXII, 34 ff.
D. XX. p. P.	—	—	—	Mtth. IX, 1 ff.
D. XXI. p. P.	—	—	—	Mtth. XXII, 1 ff.
D. XXII. p. P.	—	—	—	Joann. IV, 47 ff.
D. XXIII. p. P.	—	—	—	Mtth. XVIII, 23 ff.
D. XXIV. p. P.	—	—	—	Mtth. XXII, 15 ff.
D. XXV. p. P.	—	—	—	Mtth. IX, 18 ff.
D. XXVI. p. P.	—	—	—	Joann. VI, 5 ff.
Fest. Cathedrae Petri.	Act. XII, 1 — 17. Mtth. XVI, 13 — 19. Joann. XXI, 15 — 19. *)			Mtth. XVI, 13 ff.
Vigil. Joann. Baptist.	—	—	—	Luc. I, 5 ff.
Fest. Joann. Baptist.	Jes. XL, 1-10. Act. XIII, 16-47. Luc. I, 5-25. 39-47. 56-67. 68. 80.			Luc. I, 57 ff.
Vigil. Petri et Pauli.	—	—	—	Joann. XXI, 15 ff.
Fest. Petri et Pauli.	Act. VIII, 15 — 27. Mtth. V, 1 — 16.			Mtth. XVI, 13 ff.
Octav. Petri et Pauli.	—	—	—	Mtth. XIV, 22 ff.

*) Hier folgen nun Lectionen für drei Sonntage post Cathedr. S. Petri. Vielleicht die fehlenden Lectionen für Septuag., Sex., Quinq.?

Digitized by Google

Comes.	Lect. Hispan.
Eph. III, 13 ff. Luc. VII, 11 ff.	— — —
Eph. IV, 1 ff. Luc. XIV, 1 ff.	— — —
1 Cor. I, 4 ff. Mtth. XXII, 34 ff.	— — —
Eph. IV, 23 ff. Mtth. IX, 1 ff.	— — —
Eph. V, 15 ff. Mtth. XXII, 1 ff.	— — —
Eph. VI, 10 ff. Joann. IV, 47 ff.	— — —
Phil. I, 6 ff. Mtth. XVIII, 23 ff.	— — —
Phil. III, 17 ff. Mtth. XXII, 15 ff.	— — —
Col. I, 9 ff. Mtth. IX, 18 ff.	— — —
Rom. XI, 25 ff. Marc. XII, 28 ff.	— — —
Hebr. V, 1 ff. Mtth. XVI, 13 ff.	Jes. XXXII, 1 — 18. 1 Petr. V, 1 — 5. Mtth. XVI, 13 — 19.
Jerem. I, 5 ff. Luc. I, 5 ff. Jes. XLI, 27 ff. Luc. I, 18 ff.	— — —
Jes. XLIX, 1 ff. Luc. I, 57 ff.	Jerem. I, 5 — 19. Gal. I, 11 — 24. Luc. I, 57 — 80.
Act. III, 1 ff. Jo. XXI, 15 ff.	— — —
— — —	Eccles. XLIV, 2 ff. Eph. I, 1 — 14. Jo. XV, 7 — 16.
— — —	Wie am Festum Petri et Pauli.

Digitized by Google

Feste u. Sonnt.	Lection. Gallicanum.	Lection. Rom.
F. Decollation. Joann. Bapt.	Jes. XLIII, 1 — 13. 22 — 28. XLIV, 1 — 5. Hebr. XI, 33 — XII, 7. Mtth. XIV, 1 — 14.	Mtth. XIV, 1 ff.
Fest. Maccab.	— — —	— —
Fest. Transfig. Dom.	— — —	— —
Fest. Annunciat. Mariae.	— — —	Luc. I, 26 ff.
Fest. S. Michael.	— — —	Mtth. XVIII, 1 ff.
Fest. omn. Sanct.	— — —	Luc. VI, 20 ff. Mtth. V, 1. ff.
Dedicat. eccles.	Gen. XXVIII, 11 — 22. 1 Cor. III, 9 — 17. Joann. X, 22 — 28. Luc. XIX, 1 — 10.	Joann. X, 22 ff. oder Luc. XIX, 1 ff.
Dedic. altaris.	— — —	Luc. VI, 43 ff.
Fest. unius Martyris.	Jes. LX, 4 — 16. 2 Tim. II, 3 — III, 12. Joann. XV, 17 — XVI, 4.	Mtth. X, 16 ff. oder 34 ff. oder Luc. XIV, 26 ff. od. IX, 23 ff.
Fest. plur. Martyr.	Jes. LXV, 13 - LXVI, 2. Apoc. VI, 9 — VII, 17. Luc. XXI, 9 — 19.	Luc. VI, 17 ff. oder XXI, 9 ff. oder XII. 1 ff. Mtth. V, 1 ff. oder X, 26 ff.
F. unius Confessor.	2 Tim. III, 16 — IV, 8. Mtth. XXV, 14 — 23.	— —
F. plur. Conf.	Thren. III, 25 — 42. 1 Tim. VI, 7 — 16. Joann. XV, 1 — 16.	Mtth. XXV, 14 ff. V, 13 ff. Luc. XIX, 12 ff. XII, 35 ff. XI, 33. X, 16 ff.

Digitized by Google

Comes.	Lect. Hispan.
Hebr. XI, 36 ff.	Sap. IV, 7 — 15.
Prov. X, 28 ff.	2 Cor. XII, 2 — 9.
Marc. VI, 17 ff.	Mtth. XIV, 1 — 14.
— — —	Sap. V, 1 — 5. 16. 17.
	Eph. I, 1 ff.
	Luc. IX, 1 — 6.
— — —	(Wie in Octav. Pentec.)
— — —	Ezech. XLIII, 2. 7. XLIV, 1 - 3.
	Phil. IV, 4 — 9.
	Mtth. I, 1 — 23.
Apoc. IV, 1 ff.	Apoc. XII, 7 — 11.
Mtth. XVIII, 1 ff.	2 Thess. I, 3 — 12.
	Mtth. XXV, 31 — 46.
— — —	Apoc. VII, 2 — 12.
	2 Cor. I, 1 — 7.
	Mtth. V, 1 — 2.
Apoc. XXI, 2 ff.	— — —
1 Cor. III, 8 ff.	
1 Reg. VIII, 22 ff.	
Luc. XIX, 1 ff.	
— — —	— — —
— — —	Eccles. XIV, 1. 22 — XV, 6.
	Gal. VI, 9 — 18.
	Mtth. XVI, 24 — 28.
— — —	Sap. XI, 1 — 4. u. X, 17 — 20.
	2 Cor. V, 1 — 8.
	Mtth. X, 16 — 22.
— — —	Jes. XLII, 1 — 4.
	2 Tim. V, 7 — 14.
	Mtth. X, 32 — 42.
— — —	Sap. III, 1 ff.
	Hebr. VII, 23 — 27.
	Luc. XII, 35 — 40.

Digitized by Google

Feste u. Sonnt.	Lection. Gallicanum.	Lection.	Rom.
Natal. episcop.	Hebr. XII, 28 — XIII, 21. Joann. XX, 1 — 16. oder Ezech. XXXIV, 1 ff. 1 Petr. I, 3 - 20. V, 1 - 4. Mtth. V, 13 — 19.	—	—
Depositio (=sepultura) Episcopi.	Jes. XXVI, 2 — 20. 1 Cor. XV, 1 — 22. Joann. VI, 49 — 59.	—	—
Ordin. Diaconi.	Ezech. XLIV, 15. 16. 1 Tim. III, 8 — 13. Luc. IX, 57 — 62. Mtth. VIII, 20 ff.	—	—
Benedict. Presbyteri.	Tit. I, 1 — 6. Luc. XII, 42 — 44.	—	—
Deposit. Christiani.	1 Cor. XV, 51 — 58. Joann. V, 19 — 30.	—	—
Lectio quotid.	Jes. LXIII, 7 — LXIV, 4. Eph. I, 15 ff. Joann. IX, 1 — 38. oder Malach. III, 17 — IV, 6. Rom. X, 16 ff.	—	—

Digitized by Google

Comes.	Lect. Hispan.
— — —	— — —
— — —	Job. XIX, 25 — 27. Rom. XIV, 7 — 9. Joann. V, 24 ff.
1 Tim. III, 8 ff. Joann. XII, 24 ff.	— — —
Eccles. XXXV, 2 ff. Mtth. XXIV, 42 ff	— — —
1 Macc. II. 1 Thess. IV. 1 Cor. XV. Ezech. XXXVII. Apoc. XIV. Joann. V. VI. XI.	— — —
— — —	— — —

Digitized by Google

Beilage Nr. XXI.

Zu §. 96. n 7.

Hymnus der Priscillianer.

Solvere volo, et solvi volo.
Salvare volo, et salvari volo
..... Generari volo.
Cantare volo .....
Saltate cuncti.
Plangere volo. Fundite vos omnes.
Ornare volo et ornari volo.
Lucerna sum tibi, ille qui me vides
Janua sum tibi, quicunque me pulsas,
Qui vides, quod ago, tace opera mea.
Verbo illusi cuncta, et non sum illusus in totum.

Beilage Nr. XXIII.

Zu §. 101. n. 3.

Gebet des Diacon für die Catechumenen. *Constit. App.* VIII, 6.

Ὑπὲρ τῶν κατηχουμένων πάντες τὸν θεὸν παρακαλέσωμεν, ἵνα ὁ ἀγαθὸς, φιλάνθρωπος εὐμενῶς εἰσακούσῃ τῶν δεήσεωναὐ τῶν καὶ τῶν παρακλήσεων, καὶ προσδεξάμενος αὐτῶν τὴν ἱκεσίαν ἀντιλάβηται αὐτῶν καὶ δῷ αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν πρὸς τὸ συμφέρον, ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ αὐτοῦ, φωτίσῃ αὐτοὺς καὶ συνετίσῃ, παιδεύσῃ αὐτοὺς τὴν θεογνωσίαν, διδάξῃ αὐτοὺς τὰ προστάγματα αὐτοῦ καὶ τὰ δικαιώματα, ἐγκαταφυτεύσῃ ἐν αὐτοῖς τὸν ἁγνὸν αὐτοῦ καὶ σωτήριον φόβον, διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν πρὸς τὸ ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι ἡμέρας καὶ νυκτὸς, βεβαιώσῃ δὲ αὐτοὺς ἐν τῇ εὐσεβείᾳ, ἑνώσῃ καὶ ἐγκαταριθμήσῃ αὐτοὺς τῷ ἁγίῳ αὐτοῦ ποιμνίῳ, καταξιώσας αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τῆς ὄντως ζωῆς, ῥύσηται δὲ

Digitized by Google

αὐτοὺς ἀπὸ πάσης ἀσεβείας, καὶ μὴ δῷ τόπον τῷ ἀλλοτρίῳ κατ' αὐτῶν, καθαρίσῃ δὲ αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐνοικήσῃ τε ἐν αὐτοῖς καὶ ἐμπεριπατήσῃ διὰ τοῦ Χριστοῦ αὐτοῦ, εὐλογήσῃ τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους, καὶ κατευθύνῃ αὐτοῖς τὰ προκείμενα εἰς τὸ συμφέρον. ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν ἱκετεύσωμεν, ἵνα ἀφέσεως τυχόντες τῶν πλημμελημάτων διὰ τῆς μυήσεως, ἀξιωθῶσι τῶν ἁγίων μυστηρίων καὶ τῆς μετὰ τῶν ἁγίων διαμονῆς. Ἐγείρεσθε, οἱ κατηχούμενοι. Τὴν εἰρήνην τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ αἰτήσασθε, εἰρηνικὴν ἡμέραν καὶ ἀναμάρτητον καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ὑμῶν, χριστιανὰ ὑμῶν τὰ τέλη, ἵλεων καὶ εὐμενῆ τὸν Θεὸν, ἄφεσιν πλημμελημάτων, ἑαυτοὺς τῷ μόνῳ ἀγεννήτῳ Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παράθεσθε. κλίνατε καὶ εὐλογεῖσθε.

Beilage Nr. XXIV.

Zu §. 101. n. 3.

Segen des Bischofs über die Catechumenen. *Constit. App.* VIII, 6.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀγέννητος καὶ ἀπρόσιτος, ὁ μόνος ἀληθινὸς Θεὸς, ὁ Θεὸς καὶ πατὴρ τοῦ Χριστοῦ σου τοῦ μονογενοῦς υἱοῦ σου, ὁ Θεὸς τοῦ παρακλήτου, καὶ τῶν ὅλων κύριος· ὃ διὰ Χριστοῦ διδασκάλους τοὺς μαθητὰς ἐπιστήσας πρὸς μάθησιν τῆς εὐσεβείας· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τοὺς δούλους σου, τοὺς κατηχουμένους τὸ εὐαγγέλιον τοῦ Χριστοῦ σου· καὶ δὸς αὐτοῖς καρδίαν καινὴν, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις αὐτῶν, πρὸς τὸ εἰδέναι καὶ ποιεῖν τὸ θέλημά σου, ἐν καρδίᾳ πλήρει καὶ ψυχῇ θελούσῃ· καταξίωσον αὐτοὺς τῆς ἁγίας μυήσεως, καὶ ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, καὶ μετόχους ποίησον τῶν θείων μυστηρίων, διὰ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, τοῦ ὑπὲρ αὐτῶν ἀποθανόντος· δι' οὗ σοι δόξα καὶ τὸ σέβας, ἐν ἁγίῳ πνεύματι,

Digitized by Google

εἰς τοὺς αἰῶνας. ἀμήν. Καὶ μετὰ τοῦτο ὁ διάκονος λεγέτω· προέλθετε οἱ κατηχούμενοι ἐν εἰρήνῃ.

Beilage Nr. XXV.

Zu §. 101. n. 3.

Gebet für die Catechumenen in der Antiocheniſchen Kirche. *Chrysostom.* hom. 2. in 2. Cor.

Τοὺς πιστοὺς ὁ νόμος διεγείρει πρὸς τὴν τῶν ἀμυήτων ἱκετηρίαν· ὅταν γὰρ ὁ διάκονος λέγῃ, ὑπὲρ τῶν κατηχουμένων ἐκτενῶς δεηθῶμεν, οὐδὲν ἄλλο ἢ τὸν δῆμον ἅπαντα τῶν πιστῶν διανίστησιν εἰς τὰς ὑπὲρ ἐκείνων εὐχάς, καίτοι γε ἀλλότριοι τέως εἰσὶν οἱ κατηχούμενοι· οὐδέπω γὰρ τοῦ σώματός εἰσι τοῦ Χριστοῦ, οὐδέπω μυστηρίων ἐκοινώνησαν, ἀλλ' ἔτι διῃρημένοι τυγχάνουσι τῆς ἀγέλης τῆς πνευματικῆς. — — διὰ τοῦτο καὶ ἐκτενῶς, φησὶ, δεηθῶμεν, ἵνα μὴ ὡς ἀλλοτρίους ἀποποιήσῃ, ἵνα μὴ ὡς ξένους ἀγνοήσῃ· οὐδέπω γὰρ εὐχὴν ἔχουσι τὴν νενομισμένην καὶ εἰσενεχθεῖσαν ὑπὸ τοῦ Χριστοῦ, οὐδέπω παῤῥησίαν κέκτηνται, ἀλλ' ἑτέρων δέονται τῶν μυσταγωγηθέντων· ἔξω γὰρ τῶν βασιλικῶν ἑστήκασιν αὐλῶν, πόῤῥω τῶν ἱερῶν περιβόλων· διὰ τοῦτο καὶ ἀπελαύνονται τῶν φρικτῶν εὐχῶν ἐκείνων γινομένων· διὰ τοῦτο καί σε παρακαλεῖ, δεῖσθαι ὑπὲρ αὐτῶν, ἵνα μέλη γένωνται σά, ἵνα μὴ ἔτι ὦσι ξένοι καὶ ἠλλοτριωμένοι· τὸ γὰρ, δεηθῶμεν, οὐ τοῖς ἱερεῦσι λέγεται μόνον, ἀλλὰ καὶ τοῖς εἰς τὸν λαὸν συντελοῦσιν· ὅταν γὰρ εἴπῃ, στῶμεν καλῶς, δεηθῶμεν, πάντας εἰς τὴν εὐχὴν παρακαλεῖ. εἶτα ἀρχόμενος τῆς εὐχῆς φησίν· ἵνα ὁ πανελεήμων καὶ οἰκτίρμων Θεὸς ἐπακούσῃ τῶν δεήσεων αὐτῶν· ἵνα διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν· ὥστε ἀκοῦσαι ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὗς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· καὶ κατηχήσῃ αὐτοὺς τὸν· λόγον τῆς ἀληθείας, καὶ κατασπείρῃ τὸν φόβον αὐτοῦ ἐν αὐτοῖς, καὶ βεβαιώσῃ τὴν πίστιν αὐτοῦ ἐν ταῖς διανοίαις αὐτῶν, ἵνα ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης· ἵνα αὐτοῖς δοίη νοῦν ἕνθεον, σώ-

Digitized by Google

φρονα λογισμὸν, καὶ ἐνάρετον πολιτείαν· διαπαντὸς τὰ αὐτοῦ νοεῖν, τὰ αὐτοῦ φρονεῖν, τὰ αὐτοῦ μελετᾷν· ἡμέρας καὶ νυκτὸς ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι· ἔτι ἐκτενέστερον ὑπὲρ αὐτῶν παρακαλέσωμεν, ἵνα ἐξέληται αὐτοὺς ἀπὸ παντὸς πονηροῦ καὶ ἀτόπου πράγματος, ἀπὸ παντὸς ἁμαρτήματος διαβολικοῦ, καὶ πάσης περιστάσεως τοῦ ἀντικειμένου· ἵνα καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, ἵνα εὐλογήσῃ τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους, πάντα τὸν βίον αὐτῶν, τοὺς οἴκους αὐτῶν καὶ τὰς οἰκετίας, τὰ τέκνα αὐτῶν ἵνα αὐξήσας εὐλογήσῃ, καὶ εἰς μέτρον ἡλικίας ἀγαγὼν σοφίσῃ· ἵνα κατευθύνῃ αὐτοῖς πάντα τὰ προκείμενα πρὸς τὸ συμφέρον. — — — — — — Τὸν ἄγγελον τῆς εἰρήνης αἰτήσατε, οἱ κατηχούμενοι, εἰρηνικὰ ὑμῖν πάντα τὰ προκείμενα· εἰρηνικὴν τὴν παροῦσαν ἡμέραν καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν αἰτήσασθε· χριστιανὰ ὑμῶν τὰ τέλη· ἑαυτοὺς τῷ ζῶντι Θεῷ καὶ τῷ Χριστῷ αὐτοῦ παραθέσθαι. — — — — Εἶτα κλῖναι τὰς κεφαλὰς κελεύομεν, τεκμήριον τοῦ τὰς εὐχὰς ἀκουσθῆναι, ποιούμενοι τὸ τὸν θεὸν εἰλογεῖν· οὐ γὰρ δὴ ἄνθρωπός ἐστιν ὁ εἰλογῶν, ἀλλὰ διὰ τῆς ἐκείνου χειρὸς καὶ γλώττης, αὐτῷ προσάγομεν τῷ βασιλεῖ τὰς κεφαλὰς τῶν παρεστώτων, καὶ ἐπιβοῶσιν ἅπαντες τὸ, ἀμήν.

Beilage Nr. XXVI.

Zu §. 101. n. 5.

Gebet für die Energumenen. *Constit.* VIII, 6. u. 7.

Εὔξασθε οἱ ἐνεργούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων. ἐκτενῶς πάντες ὑπὲρ αὐτῶν δεηθῶμεν, ὅπως ὁ φιλάνθρωπος Θεὸς, διὰ Χριστοῦ ἐπιτιμήσῃ τοῖς ἀκαθάρτοις καὶ πονηροῖς πνεύμασι, καὶ ῥύσηται τοὺς αὐτοῦ ἱκέτας ἀπὸ τῆς τοῦ ἀλλοτρίου καταδυναστείας· ὁ ἐπιτι-

Digitized by Google

μήσας τῷ λεγεῶνι τῶν δαιμόνων καὶ τῷ ἀρχεκάκῳ διαβόλῳ ἐπιτιμήσῃ αὐτὸς καὶ νῦν τοῖς ἀποστάταις τῆς εὐσεβείας, καὶ ῥύσηται τὰ ἑαυτοῦ πλάσματα ἀπὸ τῆς ἐνεργείας αὐτοῦ, καὶ καθαρίσῃ αὐτά, ἃ μετὰ πολλῆς σοφίας ἐποίησεν. Ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν δεηθῶμεν, σῶσον καὶ ἀνάστησον αὐτοὺς ὁ Θεὸς, ἐν τῇ δυνάμει σου. Κλίνατε οἱ ἐνεργούμενοι καὶ εὐλογεῖσθε. Καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω, λέγων. Ὁ τὸν ἰσχυρὸν δείσας, καὶ πάντα τὰ σκεύη αὐτοῦ διαρπάσας· ὁ δοὺς ἡμῖν ἐξουσίαν ἐπάνω ὄφεων καὶ σκορπίων πατεῖν, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· ὁ τὸν ἀνθρωποκτόνον ὄφιν δεσμώτην παραδοὺς ἡμῖν, ὡς στρουθίον παιδίοις· ὃν πάντα φρίττει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου· ὁ ῥήξας αὐτὸν ὡς ἀστραπὴν ἐξ οὐρανοῦ εἰς γῆν, οὐ τοπικῷ ῥήγματι, ἀλλὰ ἀπὸ τιμῆς εἰς ἀτιμίαν, δι' ἑκούσιον αὐτοῦ κακόνοιαν, οὗ τὸ βλέμμα ξηραίνει ἀβύσσους, καὶ ἡ ἀπειλὴ τήκει ὄρη, καὶ ἡ ἀλήθεια μένει εἰς τὸν αἰῶνα· ὃν αἰνεῖ τὰ νήπια, καὶ εὐλογεῖ τὰ θηλάζοντα· ὃν ὑμνοῦσι καὶ προσκυνοῦσιν ἄγγελοι· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται· ὁ ἀπειλῶν θαλάσσην καὶ ξηραίνων αὐτὴν, καὶ πάντας τοὺς ποταμοὺς αὐτοὺς ἐξερημῶν· οὗ νεφέλαι κονιορτὸς τῶν ποδῶν· ὁ περιπατῶν ἐπὶ θαλάσσης, ὡς ἐπ' ἐδάφους· μονογενὴς Θεὲ, μεγάλου πατρὸς υἱὲ, ἐπιτίμησον τοῖς πονηροῖς πνεύμασι, καὶ ῥῦσαι τὰ ἔργα τῶν χειρῶν σου ἐκ τῆς τοῦ ἀλλοτρίου πνεύματος ἐνεργείας· ὅτι σοι δόξα, τιμὴ καὶ σέβας, καὶ διὰ σοῦ τῷ σῷ πατρὶ, ἐν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Beilage Nr. XXVII.

Zu §. 101. n. 6.

Gebet für die Poenitenten. *Constit.* VIII, 8. 9.

Εὔξασθε οἱ ἐν τῇ μετανοίᾳ. ἐκτενῶς πάντες ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν παρακαλέσωμεν, ὅπως ὁ φιλοικτίρμων Θεὸς ὑποδείξῃ αὐτοῖς ὁδὸν μετανοίας, προσδέξηται αὐτῶν

Digitized by Google

τὴν παλινῳδίαν καὶ τὴν ἐξομολόγησιν, καὶ συντρίψῃ τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας αὐτῶν ἐν τάχει, καὶ λυτρώσηται αὐτοὺς ἀπὸ τῆς παγίδος τοῦ διαβόλου καὶ τῆς ἐπηρείας τῶν δαιμόνων, καὶ ἐξέληται αὐτοὺς ἀπὸ παντὸς ἀθεμίτου λόγου, καὶ πάσης ἀτόπου πράξεως, καὶ πονηρᾶς ἐννοίας· συγχωρήσῃ δὲ αὐτοῖς πάντα τὰ παραπτώματα αὐτῶν, τά τε ἑκούσια καὶ τὰ ἀκούσια, καὶ ἐξαλείψῃ τὸ κατ' αὐτῶν χειρόγραφον, καὶ ἐγγράψηται αὐτοὺς ἐν βίβλῳ ζωῆς· καθαρῇ δὲ αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ ἑνώσῃ αὐτοὺς ἀποκαταστήσας εἰς τὴν ἁγίαν αὐτοῦ ποίμνην, ὅτι αὐτὸς γινώσκει τὸ πλάσμα ἡμῶν. Ὅτι τίς καυχήσεται ἁγνὴν ἔχειν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις. ἔτι ὑπὲρ αὐτῶν ἐκτενέστερον δεηθῶμεν, ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ὅπως ἀποστραφέντες πᾶν ἔργον ἀθέμιτον, προσοικειωθῶσι πάσῃ πράξει ἀγαθῇ, ἵνα ὁ φιλάνθρωπος Θεὸς ᾖ τάχος εὐμενῶς προσδεξάμενος αὐτῶν τὰς λιτὰς, ἀποκαταστήσῃ αὐτοῖς ἀγαλλίασιν τοῦ σωτηρίου, καὶ πνεύματι ἡγεμονικῷ στηρίξῃ αὐτούς, ἵνα μηκέτι σαλευθῶσι· κοινωνοὶ γενέσθαι τῶν ἁγίων αὐτοῦ ἱερῶν, καὶ μέτοχοι τῶν θείων μυστηρίων· ἵνα ἄξιοι ἀποφανθέντες τῆς υἱοθεσίας, τύχωσι τῆς αἰωνίου ζωῆς. Ἔτι ἐκτενῶς πάντες ὑπὲρ αὐτῶν εἴπωμεν· κύριε ἐλέησον, σῶσον αὐτοὺς ὁ Θεὸς, καὶ ἀνάστησον τῷ ἐλέει σου. Ἀναστάντες τῷ Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ, κλίνατε καὶ εὐλογεῖσθε. Ἐπευχέσθω οὖν ὁ ἐπίσκοπος τοιάδε. Παντοκράτορ Θεὲ αἰώνιε, δέσποτα τῶν ὅλων, κτίστα καὶ πρύτανι τῶν πάντων· ὁ τὸν ἄνθρωπον κόσμου κόσμον ἀναδείξας διὰ Χριστοῦ, καὶ νόμον δοὺς αὐτῷ ἔμφυτον καὶ γραπτὸν, πρὸς τὸ ζῆν αὐτὸν ἐνθέσμως, ὡς λογικόν· καὶ ἁμαρτόντι ὑποθήκην δοὺς πρὸς μετάνοιαν τὴν σαυτοῦ ἀγαθότητα· ἔπιδε ἐπὶ τοὺς κεκλικότας σοι αὐχένα ψυχῆς καὶ σώματος· ὅτι οὐ βούλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν, ὥστε ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆν. Ὁ Νι-

Digitized by Google

νευϊτῶν προσδεξάμενος τὴν μετάνοιαν· ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν ὁ τὸν υἱὸν προσδεξάμενος, τὸν καταφαγόντα τὸν βίον αὐτοῦ ἀσώτως, πατρικοῖς σπλάγχνοις, διὰ τὴν μετάνοιαν· αὐτὸς καὶ νῦν πρόσδεξαι τῶν ἱκετῶν σου τὴν μετάγνωσιν· ὅτι οὐκ ἔστιν ὃς οὐχ ἁμαρτήσεταί σοι· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃ, κύριε, κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι· καὶ ἀποκατάστησον αὐτοὺς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, ἐν τῇ προτέρᾳ ἀξίᾳ καὶ τιμῇ, διὰ τοῦ Χριστοῦ τοῦ Θεοῦ σωτῆρος ἡμῶν· δι' οὗ σοι δόξα καὶ προσκύνησις, ἐν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Beilage Nr. XXVIII.

Zu §. 101. n. 6.

Gebet für die Catechumenen der letzten Classe. *Constitt.* VIII, 7. 8.

Ἐκτενῶς οἱ πιστοὶ πάντες ὑπὲρ αὐτῶν παρακαλέσωμεν, ὅπως ὁ κύριος καταξιώσῃ αὐτοὺς μυηθέντας εἰς τὸν τοῦ Χριστοῦ θάνατον συναναστῆναι αὐτῷ, καὶ μετόχους γενέσθαι τῆς βασιλείας αὐτοῦ, καὶ κοινωνοὺς τῶν μυστηρίων αὐτοῦ, ἑνώσῃ καὶ συγκαταλέξῃ αὐτοὺς μετὰ τῶν σωζομένων ἐν τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ. Σῶσον καὶ ἀνάστησον αὐτοὺς ἐν τῇ σῇ χάριτι. Κατασφραγισάμενοι τῷ Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ, κλίναντες εὐλογείσθωσαν παρὰ τοῦ ἐπισκόπου τήνδε τὴν εὐλογίαν. Ὁ προειπὼν διὰ τῶν ἁγίων σου προφητῶν τοῖς μυουμένοις· λούσασθε, καθαροὶ γίνεσθε· καὶ διὰ τοῦ Χριστοῦ νομοθετήσας τὴν πνευματικὴν ἀναγέννησιν· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τοὺς βαπτιζομένους, καὶ εὐλόγησον αὐτοὺς καὶ ἁγίασον, καὶ παρασκεύασον ἀξίους γενέσθαι τῆς πνευματικῆς σου δωρεᾶς, καὶ τῆς ἀληθινῆς υἱοθεσίας τῶν πνευματικῶν σου μυστηρίων, τῆς μετὰ τῶν σωζομένων ἐπισυναγωγῆς, διὰ Χριστοῦ τοῦ σωτῆρος

Digitized by Google

ἡμῶν· δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας ἐν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας· ἀμήν.

Beilage Nr. XXIX.

Zu 104. n. 2.

Taufbekenntniſſe.

A. Orientaliſche.

a) Symbolum der Apoſt. Conſtitutionen. (L. VII. c. 41.)

Πιστεύω, καὶ βαπτίζομαι εἰς ἕνα ἀγέννητον, μόνον ἀληθινὸν Θεὸν παντοκράτορα, τὸν πατέρα τοῦ Χριστοῦ, κτιστὴν καὶ δημιουργὸν τῶν ἁπάντων, ἐξ οὗ τὰ πάντα· καὶ εἰς τὸν κύριον Ἰησοῦν τὸν Χριστὸν, τὸν μονογενῆ αὐτοῦ υἱὸν, τὸν πρωτότοκον πάσης κτίσεως, τὸν πρὸ αἰώνων εὐδοκίᾳ τοῦ πατρὸς γεννηθέντα, οὐ κτισθέντα, δι' οὗ τὰ πάντα ἐγένετο, τὰ ἐν οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, ὁρατά τε καὶ ἀόρατα, τὸν ἐπ' ἐσχάτων ἡμερῶν κατελθόντα ἐξ οὐρανῶν καὶ σάρκα ἀναλαβόντα καὶ ἐκ τῆς ἁγίας παρθένου Μαρίας γεννηθέντα, καὶ πολιτευσάμενον ὁσίως κατὰ τοὺς νόμους τοῦ Θεοῦ καὶ πατρὸς αὐτοῦ, καὶ σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου, καὶ ἀποθανόντα ὑπὲρ ἡμῶν, καὶ ἀναστάντα ἐκ νεκρῶν μετὰ τὸ παθεῖν, τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ πατρὸς καὶ πάλιν ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Βαπτίζομαι καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τουτέστι, τὸν παράκλητον, τὸ ἐνεργῆσαν ἐν πᾶσι τοῖς ἀπ' αἰῶνος ἁγίοις, ὕστερον δὲ ἀποσταλὲν καὶ τοῖς ἀποστόλοις παρὰ τοῦ πατρὸς, κατὰ τὴν ἐπαγγελίαν τοῦ σωτῆρος ἡμῶν κυρίου Ἰησοῦ Χριστοῦ, καὶ μετὰ τοὺς ἀποστόλους δὲ πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ· εἰς σαρκὸς ἀνάστασιν καὶ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς βασιλείαν οὐρανῶν καὶ εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος.

Digitized by Google

b) Symbolum der Kirche in Cäsarea (bei *Socr.* I, 8.)

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, τὸν τῶν ἁπάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ λόγον, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, ζωὴν ἐκ ζωῆς, υἱὸν μονογενῆ, πρωτότοκον πάσης κτίσεως, πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ θεοῦ πατρὸς γεγεννημένον, δι' οὗ καὶ ἐγένετο τὰ πάντα, τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα καὶ ἐν ἀνθρώποις πολιτευσάμενον καὶ παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα πρὸς τὸν πατέρα καὶ ἥξοντα πάλιν ἐν δόξῃ, κρῖναι ζῶντας καὶ νεκρούς. πιστεύομεν δὲ καὶ εἰς ἓν πνεῦμα ἅγιον. τούτων ἕκαστον εἶναι καὶ ὑπάρχειν πιστεύοντες, πατέρα ἀληθῶς πατέρα, καὶ υἱὸν ἀληθῶς υἱὸν καὶ πνεῦμα ἅγιον ἀληθῶς ἅγιον πνεῦμα, καθὼς καὶ ὁ κύριος ἡμῶν ἀποστέλλων εἰς τὸ κήρυγμα τοὺς ἑαυτοῦ μαθητὰς, εἶπε· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

c) Symbolum der Kirche in Jerusalem (aus *Cyrill.* Hierosolymit. Catech. VI. sqq.)

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα Θεὸν ἀληθινὸν πρὸ πάντων τῶν αἰώνων, δι' οὗ τὰ πάντα ἐγένετο, σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα καὶ ταφέντα· καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθίσαντα ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ ἐρχόμενον ἐν δόξῃ, κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος, καὶ εἰς ἓν ἅγιον πνεῦμα, τὸν παράκλητον, τὸ λαλῆσαν ἐν τοῖς προφήταις· καὶ εἰς ἓν βάπτισμα μετανοίας, εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ εἰς μίαν ἁγίαν καθολικὴν ἐκκλησίαν· καὶ εἰς σαρκὸς ἀνάστασιν· καὶ εἰς ζωὴν αἰώνιον.

Digitized by Google

B. Occidentaliſche.

a) Nordafricaniſches Symbolum (bei *Augustin.* S. 212 ff.)

Credo in Deum patrem omnipotentem. Et in Jesum Christum, filium ejus unicum, dominum nostrum. Qui conceptus est de spiritu sancto, natus ex virgine Maria. Passus est sub Pontio Pilato, crucifixus, mortuus et sepultus. Tertia die resurrexit a mortuis. Ascendit in caelum. Sedet ad dexteram patris. Inde venturus est judicaturus vivos et mortuos. Et spiritum sanctum, sanctam ecclesiam, remissionem peccatorum, carnis resurrectionem.

b) Symbolum der Kirche in Ravenna (aus *Petrus* Chrysolog. S. 56—62.)

Credo in Deum patrem omnipotentem. Et in Christum Jesum, filium ejus unicum, dominum nostrum. Qui natus est de spiritu sancto ex Maria virgine. Qui sub Pontio Pilato crucifixus est et sepultus. Tertia die resurrexit a mortuis. Ascendit in caelos, sedet ad dexteram patris. Inde venturus est judicare vivos et mortuos. Credo in spiritum sanctum. Sanctam ecclesiam catholicam et remissionem peccatorum. Carnis resurrectionem. Vitam aeternam.

c) Symbolum d. Kirche in Turin (bei *Maximus* Taurin. hom. 83. de tradit. Symb., ganz daſſelbe, wie das Römiſche bei *Rufinus*, expos. Symb. Apost.)

Credo in Deum patrem omnipotentem. Et in Jesum Christum, filium ejus unicum, dominum nostrum. Qui natus est de spiritu sancto ex Maria virgine. Qui sub Pontio Pilato crucifixus est et sepultus. Tertia die resurrexit a mortuis. Ascendit in caelum. Sedet ad dexteram patris. Inde venturus judicare vivos et mortuos. Et in spiritum sanctum, sanctam ecclesiam, remissionem peccatorum, carnis resurrectionem.

Digitized by Google

b) Symbolum der Kirche in Cäsarea (bei *Socr.* I, 8.)

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, τὸν τῶν ἁπάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ λόγον, θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, ζωὴν ἐκ ζωῆς, υἱὸν μονογενῆ, πρωτότοκον πάσης κτίσεως, πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Θεοῦ πατρὸς γεγεννημένον, δι' οὗ καὶ ἐγένετο τὰ πάντα, τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα καὶ ἐν ἀνθρώποις πολιτευσάμενον καὶ παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα πρὸς τὸν πατέρα καὶ ἥξοντα πάλιν ἐν δόξῃ, κρῖναι ζῶντας καὶ νεκρούς. πιστεύομεν δὲ καὶ εἰς ἓν πνεῦμα ἅγιον. τούτων ἕκαστον εἶναι καὶ ὑπάρχειν πιστεύοντες, πατέρα ἀληθῶς πατέρα, καὶ υἱὸν ἀληθῶς υἱὸν καὶ πνεῦμα ἅγιον ἀληθῶς ἅγιον πνεῦμα, καθὼς καὶ ὁ κύριος ἡμῶν ἀποστέλλων εἰς τὸ κήρυγμα τοὺς ἑαυτοῦ μαθητὰς, εἶπε· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

c) Symbolum der Kirche in Jerusalem (aus *Cyrill.* Hierosolymit. Catech. VI. sqq.)

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα Θεὸν ἀληθινὸν πρὸ πάντων τῶν αἰώνων, δι' οὗ τὰ πάντα ἐγένετο, σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα καὶ ταφέντα· καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθίσαντα ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ ἐρχόμενον ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος, καὶ εἰς ἓν ἅγιον πνεῦμα, τὸν παράκλητον τὸν λαλῆσαν ἐν τοῖς προφήταις· καὶ εἰς ἓν βάπτισμα μετανοίας, εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ εἰς μίαν ἁγίαν καθολικὴν ἐκκλησίαν· καὶ εἰς σαρκὸς ἀνάστασιν· καὶ εἰς ζωὴν αἰώνιον.

Digitized by Google

Digitized by Google

d) Symbolum der Kirche zu Aquileja (nach *Rufinus*, Expos. Symb. Apost.)

Credo in Deo patre omnipotente, invisibili et impassibili. Et in Christo Jesu, unico filio ejus, domino nostro. Qui natus est de spiritu sancto ex Maria virgine. Crucifixus sub Pontio Pilato et sepultus descendit ad inferna. Tertia die resurrexit a mortuis. Ascendit in coelos, sedet ad dexteram patris; inde venturus est judicare vivos et mortuos. Et in spiritu sancto. Sanctam ecclesiam, remissionem peccatorum, hujus carnis resurrectionem.

Beilage Nr. XXX.

Zu §. 107. n. 4.

Gebet bei Einsegnung des Taufölds. *Constit.* VII, 42.

Εὐλογεῖται δὲ τοῦτο παρὰ τοῦ ἀρχιερέως εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ προκατασκευὴν τοῦ βαπτίσματος· ἐπικαλεῖται γὰρ οὕτω τὸν ἀγέννητον Θεὸν, τὸν πατέρα τοῦ Χριστοῦ, τὸν βασιλέα πάσης αἰσθητῆς καὶ νοητῆς φύσεως, ἵνα ἁγιάσῃ τὸ ἔλαιον τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ, καὶ δώσῃ χάριν πνευματικὴν, καὶ δύναμιν ἐνεργητικὴν, ἄφεσίν τε ἁμαρτιῶν, καὶ προπαρασκευὴν ὁμολογίας βαπτίσματος, ὥστε τὸν χριόμενον ἀπολυθέντα πάσης ἀσεβείας, ἄξιον γενέσθαι τῆς μυήσεως κατ' ἐντολὴν τοῦ μονογενοῦς.

Beilage Nr. XXXI.

Zu §. 107. n. 5.

Gebet bei Einsegnung des Taufwassers. *Constit.* VII, 43.

Εἶτα ἔρχεται εἰς τὸ ὕδωρ. εὐλογεῖ καὶ δοξάζει τὸν δεσπότην Θεὸν τὸν παντοκράτορα, τὸν πατέρα τοῦ μονογενοῦς Θεοῦ, εὐχαριστῶν ὁ ἱερεύς· ὅτι ἀπέστειλεν ἐνανθρωπῆσαι τὸν υἱὸν αὐτοῦ δι' ἡμᾶς, ἵνα ἡμᾶς σώσῃ· ὅτι ἠνέσχετο τῆς ἐνανθρωπήσεως ὑπήκοον αὐτὸν γενέ-

Digitized by Google

σθαι ἐν πᾶσι, κηρύξαι βασιλείαν οὐρανῶν, ἄφεσιν ἁμαρτιῶν, νεκρῶν ἀνάστασιν. ἐπὶ τούτοις προσκυνεῖ αὐτὸν τὸν μονογενῆ Θεὸν μετ' αὐτὸν, καὶ δι' αὐτὸν εὐχαριστῶν αὐτῷ, τῷ ἀναδέξασθαι αὐτὸν τὸν ὑπὲρ πάντων θάνατον διὰ τοῦ σταυροῦ, οὗ τύπον ἔδωκε τὸ βάπτισμα τῆς παλιγγενεσίας. δοξάζει τε ὅτι ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, Θεὸς ὁ τῶν ὅλων κύριος, ἐν ἁγίῳ πνεύματι οὐκ ἀπέῤῥιψε τὸ τῶν ἀνθρώπων γένος· ἀλλὰ διαφόροις καιροῖς διαφόρους προνοίας ἐποιήσατο· τότε Ἀδὰμ αὐτῷ ἐν παραδείσῳ, πρῶτον μὲν τρυφῆς λόγῳ τὸν παράδεισον οἰκητήριον δοὺς, ἔπειτα προνοίας λόγῳ ἐντολὴν ποιησάμενος· ἁμαρτόντα δὲ, δικαιοσύνῃ ἐξώσας, ἀγαθότητι δὲ μὴ ἀπορῥίψας εἰς τὸ παντελὲς, ἀλλὰ καὶ τοὺς ἐξ αὐτοῦ κατὰ διαδοχὴν διαφόρως παιδεύσας· δι' ὃν ἐπὶ τὸ τέρμα τοῦ αἰῶνος ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἄνθρωπον γενέσθαι δι' ἀνθρώπους, καὶ πάντα τὰ ἀνθρώπινα πάθη ἀναδέξασθαι χωρὶς ἁμαρτίας. αὐτὸν οὖν καὶ νῦν παρακαλείτω ὁ ἱερεὺς πρὸς τῷ βαπτίσματι, καὶ λεγέτω, ὅτι κάτιδε ἐξ οὐρανοῦ, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο· δὸς δὲ χάριν καὶ δύναμιν, ὥστε τὸν βαπτιζόμενον, κατ' ἐντολὴν τοῦ Χριστοῦ σου, αὐτῷ συσταυρωθῆναι, καὶ συναποθανεῖν καὶ συνταφῆναι, καὶ συναναστῆναι εἰς υἱοθεσίαν τὴν ἐν αὐτῷ, τῷ νεκρωθῆναι μὲν τῇ ἁμαρτίᾳ, ζῆσαι δὲ τῇ δικαιοσύνῃ.

Beilage Nr. XXXII.

Zu §. 113. n. 9.

Euseb. hist. eccles. VII, 9.

Τῶν συναγομένων ἀδελφῶν πιστὸς νομιζόμενος ἀρχαῖος καὶ πρὸ τῆς ἐμῆς χειροτονίας· οἶμαι δὲ καὶ πρὸ τῆς τοῦ μακαρίου Ἡρακλᾶ καταστάσεως τῆς συναγωγῆς μετασχὼν τοῖς ὑπόγυον βαπτιζομένοις παρατυχών, καὶ τῶν ἐπερωτήσεων καὶ τῶν ἀποκρίσεων ἐπακούσας, προσῆλθέ μοι κλαίων καὶ καταθρηνῶν ἑαυτὸν, καὶ πίπτων πρὸ τῶν ποδῶν μου· ἐξομολογούμενος μὲν καὶ ἐξομνύ-

Digitized by Google

μενος τὸ βάπτισμα ὃ παρὰ τοῖς αἱρετικοῖς βεβάπτιστο, μὴ τοιοῦτον εἶναι, μὴ δὲ ὅλως ἔχειν τινὰ πρὸς τοῦτο κοινωνίαν· ἀσεβείας γὰρ ἐκεῖνο καὶ βλασφημιῶν πεπληρῶσθαι· λέγων δὲ πάνυ τι τὴν ψυχὴν νῦν κατανενύχθαι, καὶ μὴ δὲ παῤῥησίαν ἔχειν ἐπᾶραι τοὺς ὀφθαλμοὺς πρὸς τὸν Θεὸν ἀπὸ τῶν ἀνοσίων ἐκείνων ῥημάτων καὶ πραγμάτων ὁρμώμενος· καὶ διὰ τοῦτο δεόμενος τῆς εἰλικρινεστάτης ταύτης καθάρσεως καὶ παραδοχῆς καὶ χάριτος τυχεῖν· ὅπερ ἐγὼ μὲν οὐκ ἐτόλμησα ποιῆσαι, φήσας αὐτάρκη τὴν πολυχρόνιον αὐτῷ κοινωνίαν εἰς τοῦτο γεγονέναι. εὐχαριστίας γὰρ ἐπακούσαντα, καὶ συνεπιφθεγξάμενον τὸ ἀμήν, καὶ τραπέζῃ παραστάντα, καὶ χεῖρας εἰς ὑποδοχὴν τῆς ἁγίας τροφῆς προτείναντα· καὶ ταύτην καταδεξάμενον, καὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετασχόντα ἱκανῷ χρόνῳ, οὐκ ἂν ἐξ ὑπαρχῆς ἀνασκευάζειν ἔτι τολμήσαιμι· θαρσεῖν δὲ ἐκέλευον, καὶ μετὰ βεβαίας πίστεως καὶ ἀγαθῆς συνειδήσεως τῇ μετοχῇ τῶν ἁγίων προσιέναι· ὁ δὲ οὔτε πενθῶν παύεται· πέφρικέ τε τῇ τραπέζῃ προσιέναι· καὶ μόλις παρακαλούμενος συνεστάναι ταῖς προσευχαῖς ἀνέχεται.

Beilage Nr. XXXIII.

Zu §. 118. n. 3.

Die Römische Abendmahlsliturgie aus dem Liber Sacr. *Gregor.* M.

In primis ad Introitum Antiphona, qualis fuerit statutis temporibus seu diebus festis, seu quotidianis.

Deinde Kyrie eleison.

Item dicitur Gloria in excelsis Deo, si episcopus fuerit, tantummodo die Dominico, sive diebus festis. A presbyteris autem minime dicitur, nisi solo in Pascha. Quando vero Litania agitur, neque Gloria in excelsis Deo, neque Alleluja canitur.

Digitized by Google

Postmodum dicitur Oratio: Deinde sequitur Apostolus.

Item Graduale, seu Alleluja.

Postmodum legitur Evangelium et offertorium et dicitur Oratio super oblata.

Qua completa, dicit sacerdos excelsa voce:

Per omnia saecula saeculorum. R. Amen. Dicit: Dominus vobiscum. R. Et cum Spiritu tuo. Dicit: Sursum corda. R. Habemus ad Dominum. Dicit: Gratias agamus Domino Deo nostro. R. Dignum et justum est.

Vere dignum et justum est, aequum et salutare, nos tibi semper et ubique gratias agere, domine sancte, pater omnipotens, aeterne Deus, per Christum dominum nostrum. Per quem majestatem tuam laudant Angeli, adorant dominationes, tremunt potestates, coeli, coelorumque virtutes, ac beata Seraphim socia exultatione concelebrant. Cum quibus et nostras voces, ut admitti jubeas, deprecamur, supplici confessione dicentes: Sanctus! Sanctus! Sanctus! Dominus Deus Sabaoth, Pleni sunt coeli et terra gloria tua. Osanna in excelsis. Benedictus qui venit in nomine domini. Osanna in excelsis.

Te igitur, clementissime Pater per Jesum Christum Filium tuum dominum nostrum supplices rogamus et petimus, uti accepta habeas et benedicas haec dona, haec munera, haec sancta sacrificia illibata: In primis, quae tibi offerimus pro Ecclesia tua Sancta Catholica, quam pacificare, custodire, adunare et regere digneris toto orbe terrarum, una cum famulo tuo Papa nostro Ill. et Rege nosto Ill. et omnibus orthodoxis atque catholicae et apostolicae fidei cultoribus.

Memento, Domine, famulorum famularumque tuarum Ill. et Ill. et omnium circum adstantium, quorum tibi fides cognita est et nota devotio: qui tibi offerunt hoc sacrificium laudis pro se suisque omnibus, pro red-

Digitized by Google

emptione animarum suarum, pro spe salutis et incolumitatis suae, tibi reddunt vota sua, aeterno Deo, vivo et vero.

Communicantes et memoriam venerantes, inprimis gloriosae semper Virginis Mariae genetricis Dei et Domini nostri Jesu Christi. Sed et beatorum Apostolorum ac Martyrum tuorum Petri, Pauli, Andreae, Jacobi, Joannis, Thomae, Jacobi, Philippi, Bartholomaei, Matthaei, Simonis et Taddei, Lini, Cleti, Clementis, Sixti, Cornelii, Cypriani, Laurentii, Chrysogoni, Joannis et Pauli, Cosmae et Damiani, Hilarii, Martini, Augustini, Gregorii, Hieronymi, Benedicti, et omnium Sanctorum tuorum, quorum meritis precibusque concedas, ut in omnibus protectionis tuae muniamur auxilio. Per Christum dominum nostrum.

Hanc igitur oblationem servitutis nostrae, sed et cunctae familiae tuae, quaesumus domine, ut placatus accipias; diesque nostros in tua pace disponas, atque ab aeterna damnatione nos eripi, et in electorum tuorum jubeas grege numerari. Per Christum dominum nostrum.

Quam oblationem tu, Deus, in omnibus, quaesumus, benedictam, adscriptam, ratam, rationabilem, acceptabilemque facere† digneris, ut nobis cor†pus, et san†guis fiat dilectissimi filii tui Domini Dei nostri Jesu Christi.

Qui pridie quam pateretur, accepit panem in sanctas ac venerabiles manus suas, elevatis oculis in coelum, ad te Deum patrem suum omnipotentem, tibi gratias agens, bene†dixit, fregit, dedit discipulis suis, dicens: **Accipite, et manducate ex hoc omnes. Hoc est enim corpus meum.**

Simili modo, postea quam coenatum est, accipiens et hunc praeclarum calicem in sanctas ac venerabiles manus suas, item tibi gratias agens, bene†dixit, dedit discipulis suis, dicens: **Accipite, et bibite ex eo omnes: Hic est enim calix sanguinis mei, novi et aeterni testamenti, myterium fidei, qui pro vobis et pro multis effundetur in remissionem pec[illegible]**

Digitized by Google

Haec quotiescunque feceritis in mei memoriam facietis.

Unde et memores sumus, Domine, nos tui servi, sed t plebs tua sancta, Christi Filii tui Dei nostri, tam beae passionis, nec non et ab inferis resurrectionis, sed et in coelos gloriosae adscensionis. Offerimus praeclarae Majestati tuae de tuis donis ac datis, hostiam † puram, hostiam † sanctam, hostiam † immaculatam, Panem † sanctum vitae aeternae, et calicem † salutis perpetuae.

Supra quae propitio ac sereno vultu respicere digneris, et accepta habere, sicuti accepta habere dignatus es munera pueri tui justi Abel, et sacrificium Patriarchae nostri Abrahae et quod tibi obtulit summus sacerdos tuus Melchisedech sanctum sacrificium, immaculatam hostiam.

Supplices te rogamus, omnipotens Deus, jube haec perferri, per manus angeli tui in sublime altare tuum, in conspectu divinae majestatis tuae, ut quotquot ex hac altaris participatione sacrosanctum Filii tui † corpus et † sanguinem sumserimus, omni benedictione coelesti et gratia repleamur. Per Christum dominum nostrum.

Super Diptycha.

Memento etiam, domine, famulorum famularumque tuarum Ill., qui nos praecesserunt cum signo fidei, et dormiunt in somno pacis. Ipsis, Domine, et omnibus in Christo quiescentibus, locum refrigerii, lucis, et pacis, ut indulgeas, deprecamur. Per eundem.

Nobis quoque peccatoribus famulis tuis de multitudine miserationum tuarum sperantibus, partem aliquam et societatem donare digneris, cum tuis sanctis Apostolis et Martyribus, cum Joanne, Stephano, Matthia, Barnaba, Ignatio, Alexandro, Marcellino, Petro, Felicitate, Perpetua, Agathe, Lucia, Agne, Caecilia, Anastasia et cum omnibus Sanctis tuis, intra quorum nos consortium, non

Digitized by Google

aestimator meriti, sed veniae, quaesumus, largitor admitte. Per Christum dominum nostrum.

Per quem haec omnia, domine, semper bona, creas, sanctiſficas, viviſficas, beneſdicis, et praestas nobis. Per ipſsum, et cum ipſso, et in ipſso, est tibi Deo Patri omnipotenti in unitate Spiritus Sancti, omnis honor et gloria.

Per omnia saecula saeculorum. Amen.

Oremus.

Praeceptis salutaribus moniti, et divina institutione formati, audemus dicere:

Pater noster, qui es in coelis, Sanctificetur nomen tuum; Adveniat regnum tuum; Fiat voluntas tua, sicut in coelo, et in terra: Panem nostrum quotidianum da nobis hodie; Et dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris. Et ne nos inducas in tentationem. R. Sed libera nos a malo.

Libera nos, quaesumus Domine, ab omnibus malis, praeteritis, praesentibus, et futuris, et intercedente beata et gloriosa semqer Virgine Dei genetrice Maria, et beatis Apostolis tuis, Petro et Paulo, atque Andrea, nec non et b. Stephano, protomartyre tuo, et omnibus Sanctis, da propitius pacem diebus nostris, ut ope misericordiae tuae adjuti, et a peccato simus semper liberi, et ab omni perturbatione securi. Per Dominum.

Pax Domini sit semper vobiscum. R. et cum spiritu tuo.

Agnus Dei, qui tollis peccata mundi, miserere nobis.

Digitized by Google

Beilage Nr. XXXIV.

Zu §. 119. n. 9.

Dankgebet des Bischofs vor der Abendmahlsfeier. *Constit. Apost.* VIII, 12.

Ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον, πρὸ πάντων ἀνυμνεῖν σε τὸν ὄντως ὄντα Θεὸν, τὸν πρὸ τῶν γεννητῶν ὄντα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται, τὸν μόνον ἀγέννητον καὶ ἄναρχον καὶ ἀβασίλευτον, καὶ ἀδέσποτον, τὸν ἀνενδεῆ, τὸν παντὸς ἀγαθοῦ χορηγὸν, τὸν πάσης αἰτίας καὶ γενέσεως κρείττονα, τὸν πάντοτε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα· ἐξ οὗ τὰ πάντα, καθάπερ ἔκ τινος ἀφετηρίας, εἰς τὸ εἶναι παρῆλθεν. σὺ γὰρ εἶ ἡ ἄναρχος γνῶσις, ἡ ἀΐδιος ὅρασις, ἡ ἀγέννητος ἀκοὴ, ἡ ἀδίδακτος σοφία· ὁ πρῶτος τῇ φύσει, καὶ νόμος τῷ εἶναι, καὶ κρείττων παντὸς ἀριθμοῦ. Τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν διὰ τοῦ μονογενοῦς σου υἱοῦ· αὐτὸν δὲ πρὸ πάντων αἰώνων γεννήσας βουλήσει, καὶ δυνάμει, καὶ ἀγαθότητι, ἀμεσιτεύτως, υἱὸν μονογενῆ, λόγον Θεὸν, σοφίαν ζῶσαν, πρωτότοκον πάσης κτίσεως, ἄγγελον τῆς μεγάλης βουλῆς σου, ἀρχιερέα σὸν, βασιλέα δὲ καὶ κύριον πάσης νοητῆς καὶ αἰσθητῆς φύσεως, τὸν πρὸ πάντων, δι' οὗ τὰ πάντα· σὺ γὰρ, Θεὲ αἰώνιε, δι' αὐτοῦ τὰ πάντα πεποίηκας, καὶ δι' αὐτοῦ τῆς προσηκούσης προνοίας τὰ ὅλα ἀξιοῖς. δι' οὗ γὰρ τὸ εἶναι ἐχαρίσω, δι' αὐτοῦ καὶ τὸ εὖ εἶναι ἐδωρήσω. ὁ Θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς υἱοῦ σου· ὁ δι' αὐτοῦ πρὸ πάντων ποιήσας τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, αἰῶνάς τε καὶ στρατιὰς, δυνάμεις τε καὶ ἐξουσίας, ἀρχάς τε καὶ θρόνους, ἀρχαγγέλους τε καὶ ἀγγέλους· καὶ μετὰ ταῦτα πάντα, ποιήσας δι' αὐτοῦ τὸν φαινόμενον τοῦτον κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ. σὺ γὰρ εἶ ὁ τὸν οὐρανὸν ὡς καμάραν στήσας καὶ ὡς δέρριν ἐκτείνας, καὶ τὴν γῆν ἐπ' οὐδενὸς ἱδρύσας γνώμῃ μόνῃ· ὁ πήξας στερέωμα, καὶ νύκτα καὶ ἡμέραν κατασκευάσας· ὁ ἐξαγαγὼν φῶς ἐκ θησαυρῶν, καὶ τῇ

Digitized by Google

τούτου στολῇ ἐπαγαγὼν τὸ σκότος, εἰς ἀνάπαυλαν τῶν ἐν τῷ κόσμῳ κινουμένων ζώων· ὁ τὸν ἥλιον τάξας εἰς ἀρχὰς τῆς ἡμέρας, ἐν οὐρανῷ καὶ τὴν σελήνην εἰς ἀρχὰς τῆς νυκτὸς, καὶ τὸν χορὸν τῶν ἀστέρων ἐν οὐρανῷ καταγράψας, εἰς αἶνον τῆς σῆς μεγαλοπρεπείας· ὁ ποιήσας ὕδωρ πρὸς πόσιν καὶ κάθαρσιν, ἀέρα ζωτικὸν πρὸς εἰσπνοὴν καὶ φωνῆς ἀπόδοσιν διὰ γλώττης πληττούσης τὸν ἀέρα, καὶ ἀκοὴν συνεργουμένην ὑπ' αὐτοῦ ὡς ἐπαΐειν εἰσδεχομένην τὴν προσπίπτουσαν αὐτῇ λαλιάν· ὁ ποιήσας πῦρ πρὸς σκότους παραμυθίαν, πρὸς ἐνδείας ἀναπλήρωσιν, καὶ τὸ θερμαίνεσθαι ἡμᾶς καὶ φωτίζεσθαι ὑπ' αὐτοῦ· ὁ τὴν μεγάλην θάλασσαν χωρίσας τῆς γῆς, καὶ τὴν μὲν ἀναδείξας πλωτὴν, τὴν δὲ ποσὶ βάσιμον ποιήσας, καὶ τὴν μὲν ζώοις μικροῖς καὶ μεγάλοις πληθύνας, τὴν δὲ ἡμέροις καὶ ἀτιθάσσοις πληρώσας, φυτοῖς τε διαφόροις στέψας, καὶ βοτάναις στεφανώσας, καὶ ἄνθεσι καλλύνας, καὶ σπέρμασι πλουτίσας, ὁ συστησάμενος ἄβυσσον, καὶ μέγα κῆτος αὐτῇ περιθεὶς, ἁλμυρῶν ὑδάτων σεσωρευμένα πελάγη, περιφράξας δὲ αὐτὴν πύλαις ἄμμου λεπτοτάτης· ὁ πνεύμασί ποτε μὲν αὐτὴν κορυφῶν εἰς ὀρέων μέγεθος, ποτὲ δὲ στρωννύων αὐτὴν εἰς πεδίον, καί ποτε μὲν ἐκμαίνων χειμῶνι, ποτὲ δὲ πραΰνων γαλήνῃ, ὡς ναυσιπόροις πλωτῆρσιν εὔκολον εἶναι πρὸς πορείαν· ὁ ποταμοῖς διαζώσας τὸν ὑπὸ σοῦ διὰ Χριστοῦ γενόμενον κόσμον, καὶ χειμάρροις ἐπικλύσας, καὶ πηγαῖς ἀεννάοις μεθύσας, ὄρεσι δὲ περισφίγξας εἰς ἕδραν ἀτρεμῆ γῆς ἀσφαλεστάτην. ἐπλήρωσας γάρ σου τὸν κόσμον, καὶ διεκόσμησας αὐτὸν βοτάναις εὐόσμοις καὶ ἰασίμοις, ζώοις πολλοῖς καὶ διαφόροις, ἀλκίμοις καὶ ἀσθενεστέροις, ἐδωδίμοις καὶ ἐνεργοῖς, ἡμέροις καὶ ἀτιθάσσοις, ἑρπετῶν συριγμοῖς, πτηνῶν ποικίλων κλαγγαῖς, ἐνιαυτῶν κύκλοις, μηνῶν καὶ ἡμερῶν ἀριθμοῖς, τροπῶν τάξεσι, μεφῶν ὀμβροτόκων διαδρομαῖς, εἰς καρπῶν γονὰς, καὶ ζώων σύστασιν, σταθμὸν ἀνέμων διαπνεόντων, ὅτε προσταχθῶσι παρὰ σοῦ, τῶν φυτῶν καὶ τῶν βοτανῶν τὸ πλῆθος. καὶ οὐ μόνον τὸν κόσμον ἐδημιούργησας, ἀλλὰ καὶ τὸν κοσμοπολίτην

Digitized by Google

ἄνθρωπον ἐν αὐτῷ ἐποίησας, κόσμου κόσμον αὐτὸν ἀνα-
δείξας. εἶπας γὰρ τῇ σῇ σοφίᾳ· ποιήσωμεν ἄνθρωπον
κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν καὶ ἀρχέτωσαν
τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ.
διὸ καὶ πεποίηκας αὐτὸν ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος
σκεδαστοῦ· τῆς μὲν ἐκ τοῦ μὴ ὄντος, τοῦ δὲ ἐκ τῶν τεσ-
σάρων στοιχείων· καὶ δέδωκας αὐτῷ, κατὰ μὲν τὴν ψυ-
χὴν, τὴν λογικὴν διάγνωσιν, εὐσεβείας καὶ ἀσεβείας διά-
κρισιν, δικαίου καὶ ἀδίκου παρατήρησιν· κατὰ δὲ τὸ σῶμα
τὴν πένταθλον ἐχαρίσω αἴσθησιν, καὶ τὴν μεταβατικὴν
κίνησιν. σὺ γὰρ Θεὲ παντοκράτορ, διὰ Χριστοῦ παράδει-
σον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς ἐφύτευσας, παντοίων φυτῶν
ἐδωδίμων κόσμῳ, καὶ ἐν αὐτῷ ὡς ἂν ἐν ἑστίᾳ πολυτελεῖ εἰσ-
ήγαγες αὐτόν· κἂν τῷ ποιεῖν νόμον δέδωκας αὐτῷ ἔμφυ-
τον, ὅπως οἰκοθεν καὶ παρ' ἑαυτοῦ ἔχοι τὰ σπέρματα
τῆς θεογνωσίας. εἰσαγαγὼν δὲ εἰς τὸν τῆς τρυφῆς παρά-
δεισον, πάντων μὲν ἀνῆκας αὐτῷ τὴν ἐξουσίαν πρὸς μετά-
ληψιν, ἑνὸς δὲ μόνου τὴν γεῦσιν ἀπεῖπας ἐπ' ἐλπίδι κρειτ-
τόνων, ἵνα ἐὰν φυλάξῃ τὴν ἐντολὴν, μισθὸν ταύτης τὴν
ἀθανασίαν κομίσηται· ἀμελήσαντα δὲ τῆς ἐντολῆς καὶ
γευσάμενον ἀπηγορευμένου καρποῦ ἀπάτῃ ὄφεως καὶ
συμβουλίᾳ γυναικὸς, τοῦ μὲν παραδείσου δικαίως ἔξωσας
αὐτὸν, ἀγαθότητι δὲ εἰς τὸ παντελὲς ἀπολλύμενον οὐχ
ὑπερεῖδες· σὸν γὰρ ἦν δημιούργημα, ἀλλὰ καθυποτάξας
αὐτῷ τὴν κτίσιν, δέδωκας αὐτῷ οἰκείοις ἱδρῶσι καὶ πόνοις
πορίζειν ἑαυτῷ τὴν τροφὴν, σοῦ πάντα φύοντος καὶ αὔ-
ξοντος καὶ πεπαίνοντος· χρόνῳ δὲ πρὸς ὀλίγον αὐτὸν κοι-
μίσας, ὅρκῳ εἰς παλιγγενεσίαν ἐκάλεσας· ὅρον θανάτου
λύσας, ζωὴν ἐξ ἀναστάσεως ἐπηγγείλω. καὶ οὐ τοῦτο μό-
νον, ἀλλὰ καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος ἀνάριθμον χέας,
τοὺς ἐμμείναντάς σοι ἐδόξασας, τοὺς δὲ ἀποστάντας σου
ἐκόλασας. Καὶ τοῦ μὲν Ἄβὲλ ὡς ὁσίου προσδεξάμενος
τὴν θυσίαν, τοῦ δὲ ἀδελφοκτόνου Καὶν ἀποστραφεὶς τὸ
δῶρον, ὡς ἐναγοῦς. Καὶ πρὸς τούτοις τὸν Σὴθ, καὶ τὸν
Ἐνὼς προσελάβου, καὶ τὸν Ἐνὼχ μετατέθεικας. σὺ γὰρ
εἶ ὁ δημιουργὸς τῶν ἀνθρώπων, καὶ τῆς ζωῆς χορηγὸς,

Digitized by Google

καὶ τῆς ἐνδείας πληρωτὴς, καὶ τῶν νόμων δοτὴρ, καὶ τῶν φυλαττόντων αὐτοὺς μισθαποδότης, καὶ τῶν παραβαινόντων αὐτοὺς ἔκδικος. ὁ τὸν μέγαν κατακλυσμὸν ἐπαγαγὼν τῷ κόσμῳ διὰ τὸ πλῆθος τῶν ἀσεβησάντων, καὶ τὸν δίκαιον Νῶε ῥυσάμενος ἐκ τοῦ κατακλυσμοῦ ἐν λάρνακι σὺν ὀκτὼ ψυχαῖς, τέλος μὲν τῶν παρῳχηκότων, ἀρχὴν δὲ τῶν μελλόντων ἐπιγίνεσθαι. ὁ τὸ φοβερὸν πῦρ κατὰ τῆς Σοδομηνῆς πενταπόλεως ἐξάψας, καὶ γῆν καρποφόρον εἰς ἅλμην θέμενος ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ, καὶ τὸν ὅσιον Λὼτ ἐξαρπάσας τοῦ ἐμπρησμοῦ. σὺ εἶ ὁ τὸν Ἀβραὰμ ῥυσάμενος προγονικῆς ἀσεβείας, καὶ κληρονόμον τοῦ κόσμου καταστήσας, καὶ ἐμφανίσας αὐτῷ τὸν Χριστόν σου. ὁ τὸν Μελχισεδὲκ, ἀρχιερέα τῆς λατρείας προχειρισάμενος· ὁ τὸν πολύτλαν Θεράποντά σου Ἰὼβ νικητὴν τοῦ ἀρχεκάκου ὄφεως ἀναδείξας· ὁ τὸν Ἰσαὰκ ἐπαγγελίας υἱὸν ποιησάμενος· ὁ τὸν Ἰακὼβ πατέρα δώδεκα παίδων, καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος χέας, καὶ εἰσαγαγὼν εἰς Αἴγυπτον ἐν ἑβδομήκοντα πέντε ψυχαῖς· σὺ κύριε, Ἰωσὴφ οὐχ ὑπερεῖδες· ἀλλὰ μισθὸν τῆς διὰ σε σωφροσύνης ἔδωκας αὐτῷ τὸ τῶν Αἰγυπτίων ἄρχειν. σὺ κύριε, Ἑβραίους ὑπὸ Αἰγυπτίων καταπονουμένους οὐ περιεῖδες, διὰ τὰς πρὸς τοὺς πατέρας αὐτῶν ἐπαγγελίας· ἀλλ' ἐῤῥύσω, κολάσας Αἰγυπτίους. παραφθειράντων δὲ τῶν ἀνθρώπων τὸν φυσικὸν νόμον, καὶ τὴν κτίσιν, ποτὲ μὲν αὐτόματον νομισάντων, ποτὲ δὲ πλεῖον ἢ δεῖ τιμησάντων, καί σοι τῷ Θεῷ τῶν πάντων συνταττόντων· οὐκ εἴασας πλανᾶσθαι, ἀλλὰ ἀναδείξας τὸν ἅγιόν σου θεράποντα Μωϋσῆν, δι' αὐτοῦ πρὸς βοήθειαν τοῦ φυσικοῦ τὸν γραπτὸν νόμον δέδωκας καὶ τὴν κτίσιν ἔδειξας σὸν ἔργον εἶναι, τὴν δὲ πολύθεον πλάνην ἐξώρισας· τὸν Ἀαρὼν καὶ τοὺς ἐξ αὐτοῦ ἱερατικῇ τιμῇ ἐδόξασας, Ἑβραίους ἁμαρτόντας. ἐκόλασας, ἐπιστρέφοντας, ἐδέξω· τοὺς Αἰγυπτίους δεκαπλήγῳ ἐτιμωρήσω· θάλασσαν διελὼν, Ἰσραηλίτας διεβίβασας· Αἰγυπτίους ἐπιδιώξαντας ὑποβρυχίους ἀπώλεσας· ξύλῳ πικρὸν ὕδωρ ἐγλύκανας· ἐκ πέτρας ἀκροτόμου ὕδωρ ἀνέχεας· ἐξ οὐρανοῦ τὸ μάννα ὗσας· τροφὴν ἐξ

Digitized by Google

ἐξ ἀέρος ὀρτυγομήτραν· στύλον πυρὸς τὴν νύκτα πρὸς φωτισμὸν, καὶ στύλον νεφέλης ἡμέραν πρὸς σκιασμὸν θάλπους. τὸν Ἰησοῦν στρατηγὸν ἀναδείξας, ἑπτὰ ἔθνη Χαναναίων διὰ αὐτοῦ καθεῖλες, Ἰορδάνην διέῤῥηξας, τοὺς ποταμοὺς Ἠθὰμ ἐξήρανας, τείχη κατέῤῥιψας ἄνευ μηχανημάτων καὶ χειρὸς ἀνθρωπίνης. ὑπὲρ ἁπάντων σοι ἡ δόξα, δέσποτα παντοκράτορ. σὲ προσκυνοῦσιν ἀνάριθμοι στρατιαὶ ἀγγέλων, ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν, δυνάμεων, στρατιῶν, αἰωνίων· τὰ Χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ, ταῖς μὲν δυσὶ κατακαλύπτοντα τοὺς πόδας, ταῖς δὲ δυσὶ τὰς κεφαλὰς, ταῖς δὲ δυσὶ πετόμενα, καὶ λέγοντα ἅμα χιλίαις χιλιάσιν ἀρχαγγέλων, καὶ μυρίαις μυριάσιν ἀγγέλων, ἀκαταπαύστως καὶ ἀσιγήτως βοώσαις· καὶ πᾶς ὁ λαὸς ἅμα εἰπάτω· ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαὼθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ· εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν.

Beilage Nr. XXXV.

Zu §. 119. n. 10.

Weihgebet bei der Abendmahlsfeier. *Constit.* VIII, 12.

(Καὶ ὁ ἀρχιερεὺς ἑξῆς λεγέτω·) ἅγιος γὰρ εἶ ὡς ἀληθῶς, καὶ πανάγιος, ὕψιστος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. ἅγιος δὲ καὶ ὁ μονογενής σου υἱὸς ὁ κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς ὁ Χριστὸς, ὃς εἰς πάντα ὑπηρετησάμενός σοι τῷ Θεῷ αὐτοῦ καὶ πατρὶ, εἴς τε δημιουργίαν διάφορον, καὶ πρόνοιαν κατάλληλον, οὐ περιεῖδε τὸ γένος τῶν ἀνθρώπων ἀπολλύμενον, ἀλλὰ μετὰ φυσικὸν νόμον, μετὰ νομικὴν παραίνεσιν, μετὰ προφητικοὺς ἐλέγχους καὶ τὰς τῶν ἀγγέλων ἐπιστασίας, παραφθειρόντων σὺν τῷ θετῷ καὶ τὸν φυσικὸν νόμον καὶ τῆς μνήμης ἐκβαλλόντων τὸν κατακλυσμὸν, τὴν ἐκπύρωσιν, τὰς κατ' Αἰγυπτίων πληγὰς, τὰς κατὰ Παλαιστηνῶν σφαγὰς, καὶ μελλόντων

Digitized by Google

ὅσον οὐδέπω ἀπόλλυσθαι πάντων, εὐδόκησεν αὐτὸς γνώμῃ σῇ ὁ δημιουργὸς ἀνθρώπου, ἄνθρωπος γενέσθαι, ὁ νομοθέτης ὑπὸ νόμους, ὁ ἀρχιερεὺς ἱερεῖον, ὁ ποιμὴν πρόβατον, καὶ ἐξευμενίσατό σε τὸν ἑαυτοῦ Θεὸν καὶ πατέρα, καὶ τῷ κόσμῳ κατήλλαξε, καὶ τῆς ἐπικειμένης ὀργῆς τοὺς πάντας ἠλευθέρωσε, γενόμενος ἐκ παρθένου, γενόμενος ἐν σαρκὶ ὁ Θεὸς λόγος, ὁ ἀγαπητὸς υἱός, ὁ πρωτότοκος πάσης πίστεως, κατὰ τὰς περὶ αὐτοῦ ὑπ' αὐτοῦ προῤῥηθείσας προφητείας ἐκ σπέρματος Δαβὶδ, καὶ Ἀβραὰμ, καὶ φυλῆς Ἰούδα καὶ γέγονεν ἐν μήτρᾳ παρθένου ὁ διαπλάσσων πάντας τοὺς γενομένους, καὶ ἐνσαρκώθη ὁ ἄσαρκος, ὁ ἀχρόνως γεννηθεὶς ἐν χρόνῳ γεγέννηται· πολιτευσάμενος ὁσίως καὶ παιδεύσας ἐνθέσμως, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐξ ἀνθρώπων ἀπέλασας, σημεῖά τε καὶ τέρατα ἐν τῷ λαῷ ποιήσας· τροφῆς καὶ ποτοῦ καὶ ὕπνου μεταλαβὼν, ὁ τρέφων πάντας τοὺς χρήζοντας τροφῆς, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας· ἐφανέρωσέ σου τὸ ὄνομα τοῖς ἀγνοοῦσιν αὐτὸ, τὴν ἄγνοιαν ἐφυγάδευσε, τὴν εὐσέβειαν ἀνεζωπύρωσε, τὸ θέλημά σου ἐπλήρωσε, τὸ ἔργον ὃ ἔδωκας αὐτῷ ἐτελείωσε· καὶ ταῦτα πάντα κατορθώσας, χερσὶν ἀνόμων κατασχεθεὶς, ἱερέων καὶ ἀρχιερέων ψευδωνύμων καὶ λαοῦ παρανόμου, προδοσίᾳ τοῦ τὴν κακίαν νοσήσαντος, καὶ πολλὰ παθὼν ὑπ' αὐτῶν, καὶ πᾶσαν ἀτιμίαν ὑποστὰς τῇ συγχωρήσει, παραδοθεὶς Πιλάτῳ τῷ ἡγεμόνι καὶ κριθεὶς ὁ κριτὴς, καὶ κατακριθεὶς ὁ σωτὴρ, σταυρᾷ προσηλώθη ὁ ἀπαθὴς, καὶ ἀπέθανεν ὁ τῇ φύσει ἀθάνατος, καὶ ἐτάφη ὁ ζωοποιὸς, ἵνα πάθους λύσῃ καὶ θανάτου ἐξέληται τούτους τοὺς δι' οὓς παρεγένετο, καὶ ῥήξῃ τὰ δεσμὰ τοῦ διαβόλου, καὶ ῥύσηται τοὺς ἀνθρώπους ἐκ τῆς ἀπάτης αὐτοῦ· καὶ ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ· καὶ τεσσαράκοντα ἡμέρας ἐνδιατρίψας τοῖς μαθηταῖς, ἀνελήφθη εἰς τοὺς οὐρανοὺς, καὶ ἐκαθέσθη ἐκ δεξιῶν σου τοῦ Θεοῦ καὶ πατρὸς αὐτοῦ.

Digitized by Google

Beilage Nr. XXXVI.

Zu §. 119. n. 10.

Weihgebet bei dem Abendmahl nach *Pseudo-Ambrosius*, de sacram. L. IV. c. 5.

Dicit sacerdos: Fac nobis, inquit, hanc oblationem adscriptam, ratam, rationabilem, acceptabilem: quod figura est corporis et sanguinis domini nostri Jesu Christi. Qui pridie quam pateretur, in sanctis manibus suis accepit panem, respexit in coelum ad te, sancte pater, omnipotens aeterne Deus, gratias agens, benedixit, fregit, fractumque apostolis suis et discipulis suis tradidit dicens: Accipite et edite ex hoc omnes; hoc est enim corpus meum, quod pro multis confringetur. Similiter etiam calicem, postquam coenatum est, pridie quam pateretur, accepit, respexit in coelum ad te, sancte pater, omnipotens aeterne Deus, gratias agens, benedixit, apostolis suis et discipulis suis tradidit, dicens: Accipite et bibite ex hoc omnes, hic est enim sanguis meus.

Beilage Nr. XXXVII.

Zu §. 119. n. 10.

Weihgebet. Aus der Liturgia Mozarabica.

Adesto, adesto Jesu bone pontifex in medio nostri: sicut fuisti in medio discipulorum tuorum: Sanctiſfica hanc oblationem: † ut sanctificata †. sumamus per manus sancti angeli tui, sancte Domine ac redemtor aeterne. Dominus noster Jesus Christus in qua nocte etc.

Digitized by Google

Beilage Nr. XXXVIII.

Zu §. 119. n. 11.

Abendmahlsgebet bei der Consecration. *Constit.* VIII. 12

Μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι, Θεὲ παντοκράτορ, οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν διάταξιν αὐτοῦ πληροῦμεν. ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσὶ, καὶ ἀναβλέψας πρὸς σὲ τὸν Θεὸν αὐτοῦ καὶ πατέρα, καὶ κλάσας, ἔδωκε τοῖς μαθηταῖς, εἰπών· τοῦτο τὸ μυστήριον τῆς καινῆς διαθήκης· λάβετε ἐξ αὐτοῦ, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ περὶ πολλῶν θρυπτόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ὡσαύτως καὶ τὸ ποτήριον κεράσας ἐξ οἴνου καὶ ὕδατος, καὶ ἁγιάσας, ἐπέδωκεν αὐτοῖς, λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ πίνητε τὸ ποτήριον τοῦτο, τὸν θάνατον τὸν ἐμὸν καταγγέλλετε, ἄχρις ἂν ἔλθω. μεμνημένοι τοίνυν τοῦ πάθους αὐτοῦ καὶ τοῦ θανάτου, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἐπανόδου, καὶ τῆς μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ἐν ᾗ ἔρχεται μετὰ δόξης καὶ δυνάμεως, κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομέν σοι τῷ βασιλεῖ καὶ Θεῷ, κατὰ τὴν αὐτοῦ διάταξιν, τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο, εὐχαριστοῦντές σοι δι' αὐτοῦ, ἐφ' οἷς κατηξίωσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου, καὶ ἱερατεύειν σοι, καὶ ἀξιοῦμέν σε, ὅπως εὐμενῶς ἐπιβλέψῃς ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ἐνώπιόν σου, σὺ ὁ ἀνενδεὴς Θεὸς, καὶ εὐδοκήσῃς ἐπ' αὐτοῖς εἰς τιμὴν τοῦ Χριστοῦ σου, καὶ καταπέμψῃς τὸ ἅγιόν σου πνεῦμα ἐπὶ τὴν θυσίαν ταύτην, τὸν μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ, ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον σῶμα τοῦ Χριστοῦ σου, καὶ τὸ ποτήριον τοῦτο αἷμα τοῦ Χριστοῦ σου, ἵνα οἱ μεταλαβόντες αὐτοῦ, βε-

Digitized by Google

βαιωθῶσι πρὸς εὐσεβείαν, ἀφέσεως ἁμαρτημάτων τύχωσι, τοῦ διαβόλου καὶ τῆς πλάνης αὐτοῦ ῥυσθῶσι, πνεύματος ἁγίου πληρωθῶσιν, ἄξιοι τοῦ Χριστοῦ σου γένωνται, ζωῆς αἰωνίου τύχωσι, σοῦ καταλλαγέντος αὐτοῖς, δέσποτα παντοκράτορ.

Beilage Nr. XXXIX.

Zu §. 119. n. 11.

Gebet bei der Consecration nach *Constit.* VII, 25.

Γίνεσθε δὲ πάντοτε εὐχάριστοι, ὡς πιστοὶ καὶ εὐγνώμονες δοῦλοι· περὶ μὲν τῆς εὐχαριστίας οὕτω λέγοντες· εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ ζωῆς ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου, δι' οὗ καὶ τὰ πάντα ἐποίησας, καὶ τῶν ὅλων προνοεῖς, ὃν καὶ ἀπέστειλας περὶ σωτηρίᾳ τῇ ἡμετέρᾳ γενέσθαι ἄνθρωπον, ὃν καὶ συνεχώρησας παθεῖν καὶ ἀποθανεῖν, ὃν καὶ ἀναστήσας εὐδόκησας δοξάσαι, καὶ ἐκάθισας ἐκ δεξιῶν σου· δι' οὗ καὶ ἐπηγγείλω ἡμῖν τὴν ἀνάστασιν τῶν νεκρῶν. σὺ δέσποτα παντοκράτορ Θεὲ αἰώνιε· ὥςπερ ἦν τοῦτο διεσκορπισμένον, καὶ συναχθὲν ἐγένετο εἷς ἄρτος, οὕτω συνάγαγέ σου τὴν ἐκκλησίαν ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν βασιλείαν. ἔτι εὐχαριστοῦμεν, πάτερ ἡμῶν, ὑπὲρ τοῦ τιμίου αἵματος Ἰησοῦ Χριστοῦ τοῦ ἐκχυθέντος ὑπὲρ ἡμῶν, καὶ τοῦ τιμίου σώματος· οὗ καὶ ἀντίτυπα ταῦτα ἐπιτελοῦμεν, αὐτοῦ διαταξαμένου ἡμῖν καταγγέλλειν τὸν αὐτοῦ θάνατον· δι' αὐτοῦ γάρ σοι καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας. ἀμήν. μηδεὶς δὲ ἐσθιέτω ἐξ αὐτῶν, τῶν ἀμυήτων· ἀλλὰ μόνοι οἱ βεβαπτισμένοι εἰς τὸν τοῦ κυρίου θάνατον, εἰ δέ τις ἀμύητος κρύψας ἑαυτὸν μεταλάβῃ, κρίμα αἰώνιον φάγεται· ὅτι μὴ ὢν τῆς εἰς Χριστὸν πίστεως, μετέλαβεν ὧν οὐ θέμις, εἰς τιμωρίαν ἑαυτοῦ. εἰ δέ τις κατὰ ἄγνοιαν μεταλάβοι, τοῦτον τάχιον στοιχειώσαντες μυήσατε, ὅπως μὴ καταφρονητὴς ἐξέλθοι.

Digitized by Google

Beilage Nr. XL.

Zu §. 119. n. 13.

Fürbitten bei der Abendmahlsfeier. *Constit.* VIII, 12.

Ἔτι δεόμεθά σου, κύριε, καὶ ὑπὲρ τῆς ἁγίας σου ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου, ὅπως αὐτὴν διαφυλάξῃς ἄσειστον καὶ ἀκλυδώνιστον, ἄχρι τῆς συντελείας τοῦ αἰῶνος· καὶ ὑπὲρ πάσης ἐπισκοπῆς τῆς ὀρθοτομούσης τὸν λόγον τῆς ἀληθείας. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῆς ἐμῆς τοῦ προσφέροντός σοι οὐδενίας, καὶ ὑπὲρ παντὸς τοῦ πρεσβυτερίου, ὑπὲρ τῶν διακόνων καὶ παντὸς τοῦ κλήρου, ἵνα πάντας σοφίσας πνεύματος ἁγίου πληρώσῃς. ἔτι παρακαλοῦμέν σε, κύριε, ὑπὲρ τοῦ βασιλέως, καὶ τῶν ἐν ὑπεροχῇ καὶ παντὸς τοῦ στρατοπέδου, ἵνα εἰρηνεύωνται τὰ πρὸς ἡμᾶς; ὅπως ἐν ἡσυχίᾳ καὶ ὁμονοίᾳ διάγοντες τὸν πάντα χρόνον τῆς ζωῆς ἡμῶν, δοξάζωμέν σε διὰ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν. ἔτι προσφέρομέν σοι καὶ ὑπὲρ πάντων τῶν ἀπὸ αἰῶνός σοι εὐαρεστησάντων ἁγίων, πατριαρχῶν, προφητῶν, δικαίων, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ψαλτῶν, παρθένων, χηρῶν, λαϊκῶν καὶ πάντων, ὧν αὐτὸς ἐπίστασαι τὰ ὀνόματα. ἔτι προσφέρομέν σοι ὑπὲρ τοῦ λαοῦ τούτου, ἵνα ἀναδείξῃς αὐτὸν εἰς ἔπαινον τοῦ Χριστοῦ σου βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ, ὑπὲρ τῶν χηρῶν τῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν σεμνοῖς γάμοις καὶ τεκνογονίαις, ὑπὲρ τῶν νηπίων τοῦ λαοῦ σου, ὅπως μηδένα ἡμῶν ἀπόβλητον ποιήσῃς. ἔτι ἀξιοῦμέν σε καὶ ὑπὲρ τῆς πόλεως ταύτης καὶ τῶν ἐνοικούντων, ὑπὲρ τῶν ἐν ἀῤῥωστίαις, ὑπὲρ τῶν ἐν πικρᾷ δουλείᾳ, ὑπὲρ τῶν ἐν ἐξορίαις, ὑπὲρ τῶν ἐν δημεύσει, ὑπὲρ πλεόντων, καὶ ὁδοιπορούντων, ὅπως ἐπίκουρος γένῃ, πάντων βοηθὸς καὶ ἀντιλήπτωρ. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν μισούν-

Digitized by Google

των ἡμᾶς καὶ διωκόντων ἡμᾶς διὰ τὸ ὄνομά σου, ὑπὲρ τῶν ἔξω ὄντων καὶ πεπλανημένων, ὅπως ἐπιστρέψῃς αὐτοὺς εἰς ἀγαθὸν, καὶ τὸν θυμὸν αὐτῶν πραΰνῃς. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν κατηχουμένων τῆς ἐκκλησίας, καὶ ὑπὲρ τῶν χειμαζομένων ὑπὸ τοῦ ἀλλοτρίου, καὶ ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν ἡμῶν, ὅπως τοὺς μὲν τελειώσῃς ἐν τῇ πίστει, τοὺς δὲ καθαρίσῃς ἐκ τῆς ἐνεργείας τοῦ πονηροῦ, τῶν δὲ τὴν μετάνοιαν προσδέξῃ, καὶ συγχωρήσῃς καὶ αὐτοῖς καὶ ἡμῖν τὰ παραπτώματα ἡμῶν. ἔτι προσφέρομέν σοι καὶ ὑπὲρ τῆς εὐκρασίας τοῦ ἀέρος καὶ τῆς εὐφορίας τῶν καρπῶν· ὅπως ἀνελλειπῶς μεταλαμβάνοντες τῶν παρὰ σοῦ ἀγαθῶν, αἰνῶμέν σε ἀπαύστως, τὸν διδόντα τροφὴν πάσῃ σαρκί. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν δι' εὔλογον αἰτίαν ἀπόντων, ὅπως ἅπαντας ἡμᾶς διατηρήσας ἐν τῇ εὐσεβείᾳ, ἐπισυναγάγῃς ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ σου, τοῦ Θεοῦ πάσης αἰσθητῆς καὶ νοητῆς φύσεως, τοῦ βασιλέως ἡμῶν, ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους· ὅτι σοι πᾶσα δόξα, σέβας καὶ εὐχαριστία, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, καὶ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀνελλειπεῖς καὶ ἀτελευτήτους αἰῶνας τῶν αἰώνων.

Beilage Nr. XLI.

Zu §. 119. n. 29.

Dankgebet nach dem Abendmahl. *Constit.* VIII, 14. 15.

Καὶ ὁ διάκονος λεγέτω, παυσαμένου τοῦ ψάλλοντος· Μεταλαβόντες τοῦ τιμίου σώματος, καὶ τοῦ τιμίου αἵματος τοῦ Χριστοῦ, εὐχαριστήσωμεν τῷ καταξιώσαντι ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων αὐτοῦ μυστηρίων, καὶ παρακαλέσωμεν, μὴ εἰς κρίμα, ἀλλ' εἰς σωτηρίαν ἡμῖν γενέσθαι, εἰς ὠφέλειαν ψυχῆς καὶ σώματος, εἰς φυλακὴν εὐσεβείας, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἐγειρώμεθα. ἐν χάριτι Χριστοῦ ἑαυτοὺς τῷ Θεῷ τῷ μόνῳ ἀγεννήτῳ Θεῷ, καὶ τῷ Χριστῷ αὐτοῦ παραθώμεθα.

Digitized by Google

Καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω· Δέσποτα ὁ Θεὸς ὁ παντοκράτορ, ὁ πατὴρ τοῦ Χριστοῦ σου τοῦ εὐλογητοῦ παιδὸς, ὁ τῶν μετ' εὐθύτητος ἐπικαλουμένων σε ἐπήκοος, ὁ καὶ τῶν σιωπώντων ἐπιστάμενος τὰς ἐντεύξεις· εὐχαριστοῦμέν σοι, ὅτι κατηξίωσας ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων σου μυστηρίων, ἃ παρέσχου ἡμῖν, εἰς πληροφορίαν τῶν καλῶς ἐγνωσμένων, εἰς φυλακὴν τῆς εὐσεβείας, εἰς ἄφεσιν πλημμελημάτων· ὅτι τὸ ὄνομα τοῦ Χριστοῦ σου ἐπικέκληται ἐφ' ἡμᾶς, καί σοι προσφωνειώμεθα. ὁ χωρίσας ἡμᾶς τῆς τῶν ἀσεβῶν κοινωνίας, ἕνωσον ἡμᾶς μετὰ τῶν καθωσιωμένων σοι, στήριξον ἡμᾶς ἐν τῇ ἀληθείᾳ τῇ τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσει, τὰ ἀγνοούμενα ἀποκάλυψον, τὰ λείποντα προσαναπλήρωσον, τὰ ἐγνωσμένα κράτυνον· τοὺς ἱερεῖς ἀμώμους διαφύλαξον ἐν τῇ λατρείᾳ σου· τοὺς βασιλεῖς διατήρησον ἐν εἰρήνῃ, τοὺς ἄρχοντας ἐν δικαιοσύνῃ, τοὺς ἀέρας ἐν εὐκρασίᾳ, τοὺς καρποὺς ἐν εὐφορίᾳ, τὸν κόσμον ἐν παναλκεῖ προνοίᾳ. τὰ ἔθνη τὰ πολεμικὰ πράϋνον· τὰ πεπλανημένα ἐπίστρεψον, τὸν λαόν σου ἁγίασον. τοὺς ἐν παρθενίᾳ διατήρησον· τοὺς ἐν γάμῳ διαφύλαξον ἐν πίστει· τοὺς ἐν ἁγνείᾳ ἐνδυνάμωσον· τὰ νήπια ἄδρυνον· τοὺς νεοτελεῖς βεβαίωσον· τοὺς ἐν κατηχήσει παίδευσον, καὶ τῆς μυήσεως ἀξίους ἀνάδειξον· καὶ πάντας ἡμᾶς ἐπισυνάγαγε εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας, καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Beilage Nr. XLII.

Zu §. 119. n. 30.

Gebet des Bischofs nach dem Abendmahl. *Constit.* VIII, 15.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀληθινὸς καὶ ἀσύγκριτος, ὁ πανταχοῦ ὢν καὶ τοῖς πᾶσι παρὼν καὶ ἐν οὐδενὶ ὡς ἐνόντι ὑπάρχων, ὁ τόποις μὴ περιγραφόμενος, ὁ χρόνοις μὴ παλαιούμενος, ὁ αἰῶσι μὴ περατούμενος, ὁ λόγοις μὴ

Digitized by Google

παραγόμενος, ὁ γενέσει μὴ ὑποκείμενος, ὁ φυλακῆς μὴ δεόμενος, ὁ φθορᾶς ἀνώτερος, ὁ τροπῆς ἀνεπίδεκτος, ὁ φύσει ἀναλλοίωτος, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὁ τῇ φύσει ὁράτος, ὁ γνωστὸς πάσαις ταῖς μετ' εὐνοίας ἐκζητούσαις τε λογικαῖς φύσεσιν, ὁ καταλαμβανόμενος ὑπὸ τῶν ἐν εὐνοίᾳ ἐπιζητούντων σε· ὁ Θεὸς Ἰσραὴλ, τοῦ ἀληθινῶς ὁρῶντος, τοῦ εἰς Χριστὸν πιστεύσαντος λαοῦ σου· εὐμενὴς γενόμενος ἐπάκουσόν μου διὰ τὸ ὄνομά σου, καὶ εὐλόγησον τούς σοι κεκλικότας τοὺς ἑαυτῶν αὐχένας, καὶ δὸς αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν τὰ ἐπὶ συμφέροντι, καὶ μηδένα αὐτῶν ἀπόβλητον ποιήσῃς ἐκ τῆς βασιλείας σου, ἀλλὰ ἁγίασον αὐτούς, φρούρησον, σκέπασον, ἀντιλαβοῦ, ῥῦσαι τοῦ ἀλλοτρίου, καὶ παντὸς ἐχθροῦ, τοὺς οἴκους αὐτῶν φύλαξον, τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους φρούρησον· ὅτι σοι δόξα, αἶνος, μεγαλοπρέπεια, σέβας, προσκύνησις, καὶ τῷ σῷ παιδὶ Ἰησοῦ τῷ Χριστῷ σου τῷ κυρίῳ ἡμῶν καὶ Θεῷ καὶ βασιλεῖ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Beilage Nr. XLIII.

Zu §. 123. n. 7.

Gebet bei der Leichenfeier. *Constit.* VIII, 41.

Ὑπὲρ ἀναπαυσαμένων ἐν Χριστῷ ἀδελφῶν ἡμῶν δεηθῶμεν· ὅπως ὁ φιλάνθρωπος Θεὸς, ὁ προσδεξάμενος αὐτοῦ τὴν ψυχὴν, παρείδῃ αὐτῷ πᾶν ἁμάρτημα ἑκούσιον καὶ ἀκούσιον, καὶ ἵλεως καὶ εὐμενὴς γενόμενος, κατατάξῃ εἰς χώραν εὐσεβῶν, ἀνειμένων εἰς κόλπον Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, μετὰ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων, καὶ ποιησάντων τὸ θέλημα αὐτοῦ· ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. ἐγειρώμεθα. ἑαυτοὺς καὶ ἀλλήλους τῷ ἀϊδίῳ Θεῷ διὰ τοῦ ἐν ἀρχῇ λόγου παραθώμεθα. Καὶ ὁ ἐπίσκοπος λεγέτω· ὁ τῇ φύσει ἀθάνατος καὶ ἀτελεύτητος, παρ' οὗ πᾶν ἀθάνατον καὶ θνη-

Digitized by Google

τὸν γέγονεν· ὁ τὸ λογικὸν ζῶον τὸν ἄνθρωπον τὸν κοσμοπολίτην, θνητὸν ἐν κατασκευῇ ποιήσας, καὶ ἀναστασίαν ἐπαγγειλάμενος· ὁ τὸν Ἐνὼχ καὶ τὸν Ἠλίαν θανάτου πεῖραν μὴ ἐάσας λαβεῖν· ὁ Θεὸς Ἀβραὰμ, ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, οὐχ ὡς νεκρῶν, ἀλλ' ὡς ζώντων Θεὸς εἶ· ὅτι πάντων αἱ ψυχαὶ παρὰ σοὶ ζῶσι, καὶ τῶν δικαίων τὰ πνεύματα ἐν τῇ χειρί σου εἰσὶν, ὧν οὐ μὴ ἅψηται βάσανος· πάντες γὰρ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου εἰσίν· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τόνδε, ὃν ἐξελέξω, καὶ προσελάβου εἰς ἑτέραν λῆξιν, καὶ συγχώρησον αὐτῷ εἴ τι ἑκὼν ἢ ἄκων ἐξήμαρτε, καὶ ἀγγέλους εὐμενεῖς παράστησον αὐτῷ, καὶ κατάταξον αὐτὸν ἐν τῷ κόλπῳ τῶν πατριαρχῶν καὶ τῶν προφητῶν καὶ τῶν ἀποστόλων καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ὅπου οὐκ ἔνι λύπη, ὀδύνη καὶ στεναγμὸς, ἀλλὰ χῶρος εὐσεβῶν ἀνημένος, καὶ γῆ εὐθέων συνανημένη, καὶ τῶν ἐν αὐτῇ ὁρώντων τὴν δόξαν τοῦ Χριστοῦ σου· διὰ οὗ σοι δόξα, τιμὴ καὶ σέβας, εὐχαριστία, προσκύνησις, ἐν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν. Καὶ ὁ διάκονος λεγέτω· κλίνατε, καὶ εὐλογεῖσθε. καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω ὑπὲρ αὐτῶν, λέγων τοιάδε· σῶσον, κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου· ποίμανον αὐτοὺς ὑπὸ τὴν δεξιάν σου, καὶ σκέπασον αὐτοὺς ὑπὸ τὰς πτέρυγάς σου, καὶ δὸς αὐτοῖς τὸν ἀγῶνα ἀγωνίσασθαι καλὸν, τὸν δρόμον τελέσαι, τὴν πίστιν τηρῆσαι ἀτρέπτως, ἀμέμπτως, ἀνεγκλήτως, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀγαπητοῦ σου παιδός· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας, καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Digitized by Google

Beilage Nr. XLIV.

Zu §. 123. n. 7.

Der Trauergottesdienst nach *Pseudo-Dionys.* de eccles. hierarch. c. VII.

Οἱ δὲ τοῦ κοιμηθέντος οἰκεῖοι, κατὰ τὴν θείαν οἰκειότητα καὶ ὁμοτροπίαν, αὐτόν τε, ὅς τίς ἐστι, μακαρίζουσι, πρὸς τὸ νικηφόρον εὐκταίως ἀφικόμενον τέλος, καὶ τῷ τῆς νίκης αἰτίῳ χαριστηρίους ᾠδὰς ἀναπέμπουσι, πρόσετι καὶ αὐτοὺς ἀφικέσθαι πρὸς τὴν ὁμοίαν εὐχόμενοι λῆξιν· λαβόντες δὲ αὐτὸν, ἐπὶ τὸν ἱεράρχην ἄγουσιν, ὡς ἐπὶ στεφάνων ἱερῶν δόσιν· ὁ δὲ ἀσμένως ὑποδέχεται καὶ τελεῖ τὰ κατὰ θεσμὸν ἱερῶν ἐπὶ τοῖς ὁσίως κεκοιμημένοις τελούμενα. — — Συναγαγὼν ὁ θεῖος ἱεράρχης τὸν ἱερὸν χορὸν, εἰ μὴν ἱερατικῆς ἐγεγόνει τάξεως ὁ κεκοιμημένος, ἐπίπροσθεν τοῦ θείου θυσιαστηρίου κατακλίνας αὐτὸν, ἀπάρχεται τῆς πρὸς Θεὸν εὐχῆς καὶ εὐχαριστίας· εἰ δὲ τοῖς εὐαγέσι μοναχοῖς ἢ τῷ ἱερῷ λαῷ κατετέτακτο παρὰ τὸ τίμιον ἱερατεῖον αὐτὸν κατακλίνει, πρὸ τῆς ἱερατικῆς εἰσελεύσεως. Εἶτα τελεῖ τὴν πρὸς Θεὸν εὐχαριστήριον εὐχὴν ὁ ἱεράρχης· ἑξῆς δὲ οἱ λειτουργοὶ τὰς ἐν τοῖς θείοις λογίοις ἐμφερομένας ἀψευδεῖς ἐπαγγελίας περὶ τῆς ἱερᾶς ἡμῶν ἀναστάσεως ἀναγνόντες ἱερῶς ᾄδουσι τὰς ὁμολόγους καὶ ταυτοδυνάμους τῶν ψαλμικῶν λογίων ᾠδάς. εἶτα τῶν λειτουργῶν ὁ πρῶτος ἀπολύει τοὺς κατηχουμένους, καὶ ἀνακηρύττει τοὺς ἤδη κεκοιμημένους ἁγίους, μεθ' ὧν ἀξιοῖ τὸν ἄρτι τελειωθέντα τῆς ὁμοταγοῦς ἀναῤῥήσεως, καὶ προτρέπεται πάντας κτήσασθαι τὴν ἐν Χριστῷ μακαρίαν τελείωσιν· εἶτα προσελθὼν ὁ θεῖος ἱεράρχης, εὐχὴν ἱερωτάτην ἐπ' αὐτῷ ποιεῖται, καὶ μετὰ τὴν εὐχὴν, αὐτός τε ὁ ἱεράρχης ἀσπάζεται τὸν κεκοιμημένον, καὶ μετ' αὐτὸν οἱ παρόντες ἅπαντες. Ἀσπασαμένων δὲ πάντων, ἐπιχέει τῷ κεκοιμημένῳ τὸ ἔλαιον ὁ ἱεράρχης, καὶ τὴν ὑπὲρ πάντων εὐχὴν ἱερὰν ποιησάμενος, ἀποτίθησιν ἐν οἴκῳ τιμίῳ τὸ σῶμα, μεθ' ἑτέρων ὁμοταγῶν ἱερῶν σωμάτων.

Digitized by Google

Beilage Nr. XLV.

Zu §. 127. n. 3.

Brief des Eusebius, Bischofs von Cäsarea, an die kaiserliche Prinzessin Constantia.

(Nach *Boivin*, annot. ad Niceph. Greg.)

Ἐπεὶ δὲ καὶ περί τινος εἰκόνος ὡς δὴ τοῦ Χριστοῦ γέγραφας, εἰκόνα βουλομένη σοι ταύτην ὑφ' ἡμῶν πεμφθῆναι· τίνα λέγεις καὶ ποίαν ταύτην, ἣν φῂς τοῦ Χριστοῦ εἰκόνα; (Οὐκ οἶδα πόθεν αὐτὴ ὁρμηθεῖσα τοῦ Σωτῆρος ἡμῶν διαγράψαι εἰκόνα προστάττεις. ποίαν τοῦ Χριστοῦ εἰκόνα ἐπιζητεῖς;) πότερον τὴν ἀληθῆ καὶ ἀμετάλλακτον, καὶ φύσει τοὺς αὐτοῦ χαρακτῆρας φέρουσαν ἢ ταύτην ἣν δι' ἡμᾶς ἀνείληφε, τῆς τοῦ δούλου μορφῆς περιθέμενος τὸ σχῆμα; (ὁ γὰρ τοῦ Θεοῦ λόγος καὶ Θεὸς, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας τὴν ἁμαρτίαν κατέκρινεν, ἧ φησὶν ὁ θεῖος ἀπόστολος, οὕτως ἡμᾶς τῆς παλαιᾶς πικρίας καὶ δαιμονικῆς δουλείας τῷ τιμίῳ αἵματι λυτρωσάμενος ἀπηλευθέρωσε, δύο οὖν μορφῶν αὐτῷ παρισταμένων.) περὶ μὲν τῆς τοῦ Θεοῦ μορφῆς οὐδὲ αὐτὸς ἡγοῦμαί σε ζητεῖν, ἅπαξ παρ' αὐτοῦ παιδευομένην, ὅτι οὔτε τὸν πατέρα τις ἔγνω, εἰ μὴ ὁ υἱός, οὐδ' αὐτὸν υἱὸν γνοίη ποτέ τις ἐπαξίως, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατὴρ . . . . . ἀλλὰ γὰρ πάντως τῆς τοῦ δούλου μορφῆς ἐπιζητεῖς καὶ οὗ δι' ἡμᾶς περιεβλήθη σαρκίου· ἀλλὰ καὶ τοῦτο τῇ δόξῃ τῆς Θεότητος ἀνακεκρᾶσθαι μεμαθήκαμεν, καὶ καταπεπόσθαι τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. (καὶ οὔτι που θαυμαστὸν, εἰ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοιοῦτόν που πέφηνεν, ὁπότε καὶ ἐν ἀνθρώποις ἔτι βιοτεύων ὁ Θεὸς λόγος, τοῖς ἐγκρίτοις τῶν ἑαυτοῦ λόγων προαρράβωνιζόμενος τὴν θέαν τῆς αὐτοῦ βασιλείας, μεταβαλὼν τὴν τοῦ δούλου μορφὴν, αὐτὴν ἐκείνην ἐπὶ τοῦ ὄρους ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν ἐπιδέδεικται· ὅτε τὸ μὲν πρόσωπον αὐτοῦ ἀπήστραψεν ὡς

Digitized by Google

ὁ ἥλιος, τὰ δὲ ἱμάτια ὡς τὸ φῶς.) τίς οὖν τῆς τοσαύτης ἀξίας τε καὶ δόξης τὰς ἀποστιλβούσας καὶ ἀπαστραπτούσας μαρμαρυγὰς οἷός τε ἂν εἴη καταχαράξαι νεκροῖς καὶ ἀψύχοις χρώμασι καὶ σκιογραφίαις, ὁπότε μηδὲ ἐμβλέψαι αὐτῷ, (τοῦτον ὀφθέντι τὸν τρόπον,) οἱ θεσπέσιοι ὑπέμειναν μαθηταὶ, οἵ γε ἔπεσον ἐπὶ πρόσωπον, ἀφόρητον αὐτοῖς τὸ θεώμενον ὁμολογήσαντες; εἰ δ' οὖν τότε ἡ ἐν σαρκὶ αὐτοῦ μορφὴ τοσαύτης ἔλαχε δυνάμεως, πρὸς τῆς ἐνοικούσης αὐτῇ θεότητος μεταβληθεῖσα, τί χρὴ λέγειν, ὅτε τὴν ὑγητότητα ἀποδὺς, καὶ τὴν φθορὰν ἀπονιψάμενος, τῆς τοῦ δούλου μορφῆς τὸ εἶδος εἰς τὴν τοῦ δεσπότου καὶ Θεοῦ δόξαν μετεσκευάσατο μετὰ τὴν κατὰ τοῦ θανάτου νίκην, καὶ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον, καὶ μετὰ τὴν ἐν τῷ βασιλικῷ θρόνῳ ἀμφὶ τὰ δεξιὰ τοῦ πατρὸς ἵδρυσιν, μετὰ τὴν ἐν τοῖς ἀκατονομαστοῖς καὶ ἐμφύτοις κόλποις τοῦ πατρὸς ἀνάπαυσιν, εἰς ἣν ἀνιόντα καὶ ἀποκαθιστάμενον αἱ οὐράνιαι δυνάμεις ἀνευφήμουν, λέγουσαι· ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης, (αἰκοῦν καὶ ἡ τοῦ δούλου μορφὴ ἐν τοιούτοις γινομένη, ἐξ ὅλων ὅλη μεταβέβληται ἐπὶ φῶς αὐτοῦ ἄῤῥητον καὶ ἀνεκδιήγητον, αὐτῷ τῷ Θεῷ λόγῳ πρέπον φῶς, ὅπερ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. πῶς οὖν τις τῶν ἀδυνάτων ἐφίκοιτο; πῶς δὲ τῆς οὕτω θαυμαστῆς καὶ ἀλήπτου μορφῆς, εἴγε χρὴ μορφὴν ἔτι καλεῖν τὴν ἔνθεον καὶ νοερὰν οὐσίαν, εἰκόνα τις ζωγραφήσειεν; εἰ μὴ τοῖς ἀπίστοις ἔθνεσιν ὁμοίως τὰ μηδαμῆ μηδαμῶς ἐοικότα ἑαυτῷ τις ἀναζωγραφήσειεν, ὥσπερ γραφεὺς μηδὲν ἐοικότα γράφων. τοιῶνδε γὰρ κἀκεῖνοι ἀνειδωλοποιοῦντες ἢ ποτε Θεὸν, ὡς ἠγοῦνται, ἢ τινα (ὡς ἂν φαῖεν) ἡρώων, ἢ τις τῶν τοιούτων πλάττειν καὶ ἀπεικάζειν ἐθέλοιεν, οὐδὲν ὅμοιον, οὐδὲ ἐγγὺς, οἷοί τε ὄντες γράφειν, ἀλλόκοτα σκιογραφοῦσιν, ἐνδρείκελα σχήματα διαχαράττοντες. ἡμῖν δὲ ὅτι μὴ δίκαιον τὰ τοιαῦτα, πάντως που καὶ αὐτὴ συμβάλλεις. ἀλλ' εἰ μὴ τῆς εἰς Θεὸν μεταβληθείσης μορφῆς, ἀλλὰ τοῦ

Digitized by Google

Beilage Nr. XXXVIII.

Zu §. 119. n. 11.

Abendmahlsgebet bei der Consecration. *Constit.* VIII. 12

Μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι, Θεὲ παντοκράτορ, οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν διάταξιν αὐτοῦ πληροῦμεν. ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσὶ, καὶ ἀναβλέψας πρὸς σὲ τὸν Θεὸν αὐτοῦ καὶ πατέρα, καὶ κλάσας, ἔδωκε τοῖς μαθηταῖς, εἰπών· τοῦτο τὸ μυστήριον τῆς καινῆς διαθήκης· λάβετε ἐξ αὐτοῦ, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ περὶ πολλῶν θρυπτόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ὡσαύτως καὶ τὸ ποτήριον κεράσας ἐξ οἴνου καὶ ὕδατος, καὶ ἁγιάσας, ἐπέδωκεν αὐτοῖς, λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ πίνητε τὸ ποτήριον τοῦτο, τὸν θάνατον τὸν ἐμὸν καταγγέλλετε, ἄχρις ἂν ἔλθω. μεμνημένοι τοίνυν τοῦ πάθους αὐτοῦ καὶ τοῦ θανάτου, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἐπανόδου, καὶ τῆς μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ἐν ᾗ ἔρχεται μετὰ δόξης καὶ δυνάμεως, κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομέν σοι τῷ βασιλεῖ καὶ Θεῷ, κατὰ τὴν αὐτοῦ διάταξιν, τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο, εὐχαριστοῦντές σοι δι' αὐτοῦ, ἐφ' οἷς κατηξίωσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου, καὶ ἱερατεύειν σοι, καὶ ἀξιοῦμέν σε, ὅπως εὐμενῶς ἐπιβλέψῃς ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ἐνώπιόν σου, σὺ ὁ ἀνενδεὴς Θεὸς, καὶ εὐδοκήσῃς ἐπ' αὐτοῖς εἰς τιμὴν τοῦ Χριστοῦ σου, καὶ καταπέμψῃς τὸ ἅγιόν σου πνεῦμα ἐπὶ τὴν θυσίαν ταύτην, τὸν μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ, ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον σῶμα τοῦ Χριστοῦ σου, καὶ τὸ ποτήριον τοῦτο αἷμα τοῦ Χριστοῦ σου, ἵνα οἱ μεταλαβόντες αὐτοῦ, βε-

Digitized by Google

βαιωθῶσι πρὸς εὐσεβείαν, ἀφέσεως ἁμαρτημάτων τύχωσι, τοῦ διαβόλου καὶ τῆς πλάνης αὐτοῦ ῥυσθῶσι, πνεύματος ἁγίου πληρωθῶσιν, ἄξιοι τοῦ Χριστοῦ σου γένωνται, ζωῆς αἰωνίου τύχωσι, σοῦ καταλλαγέντος αὐτοῖς, δέσποτα παντοκράτορ.

Beilage Nr. XXXIX.

Zu §. 119. n. 11.

Gebet bei der Consecration nach *Constit.* VII, 25.

Γινεσθε δὲ πάντοτε εὐχάριστοι, ὡς πιστοὶ καὶ εὐγνώμονες δοῦλοι· περὶ μὲν τῆς εὐχαριστίας οὕτω λέγοντες· εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ ζωῆς ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου, δι' οὗ καὶ τὰ πάντα ἐποίησας, καὶ τῶν ὅλων προνοεῖς, ὃν καὶ ἀπέστειλας περὶ σωτηρίᾳ τῇ ἡμετέρᾳ γενέσθαι ἄνθρωπον, ὃν καὶ συνεχώρησας παθεῖν καὶ ἀποθανεῖν, ὃν καὶ ἀναστήσας εὐδόκησας δοξάσαι, καὶ ἐκάθισας ἐκ δεξιῶν σου· δι' οὗ καὶ ἐπηγγείλω ἡμῖν τὴν ἀνάστασιν τῶν νεκρῶν. σὺ δέσποτα παντοκράτορ Θεὲ αἰώνιε· ὥςπερ ἦν τοῦτο διεσκορπισμένον, καὶ συναχθὲν ἐγένετο ἓξ ἄρτος, οὕτω συνάγαγέ σου τὴν ἐκκλησίαν ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν βασιλείαν. ἔτι εὐχαριστοῦμεν, πάτερ ἡμῶν, ὑπὲρ τοῦ τιμίου αἵματος Ἰησοῦ Χριστοῦ τοῦ ἐκχυθέντος ὑπὲρ ἡμῶν, καὶ τοῦ τιμίου σώματος· οὗ καὶ ἀντίτυπα ταῦτα ἐπιτελοῦμεν, αὐτοῦ διαταξαμένου ἡμῖν καταγγέλλειν τὸν αὐτοῦ θάνατον· δι' αὐτοῦ γάρ σοι καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας. ἀμήν. μηδεὶς δὲ ἐσθιέτω ἐξ αὐτῶν, τῶν ἀμυήτων· ἀλλὰ μόνοι οἱ βεβαπτισμένοι εἰς τὸν τοῦ κυρίου θάνατον, εἰ δέ τις ἀμύητος κρύψας ἑαυτὸν μεταλάβῃ, κρίμα αἰώνιον φάγεται· ὅτι μὴ ὢν τῆς εἰς Χριστὸν πίστεως, μετέλαβεν ὧν οὐ θέμις, εἰς τιμωρίαν ἑαυτοῦ. εἰ δέ τις κατὰ ἄγνοιαν μεταλάβοι, τοῦτον τάχιον στοιχειώσαντες μυήσατε, ὅπως μὴ καταφρονητὴς ἐξέλθοι.

Digitized by Google

Beilage Nr. XL.

Zu §. 119. n. 13.

Fürbitten bei der Abendmahlsfeier. *Constit.* VIII, 12.

Ἔτι δεόμεθά σου, κύριε, καὶ ὑπὲρ τῆς ἁγίας σου ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου, ὅπως αὐτὴν διαφυλάξῃς ἄσειστον καὶ ἀκλυδώνιστον, ἄχρι τῆς συντελείας τοῦ αἰῶνος· καὶ ὑπὲρ πάσης ἐπισκοπῆς τῆς ὀρθοτομούσης τὸν λόγον τῆς ἀληθείας. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῆς ἐμῆς τοῦ προσφέροντός σοι οὐδενίας, καὶ ὑπὲρ παντὸς τοῦ πρεσβυτερίου, ὑπὲρ τῶν διακόνων καὶ παντὸς τοῦ κλήρου, ἵνα πάντας σοφίσας πνεύματος ἁγίου πληρώσῃς. ἔτι παρακαλοῦμέν σε, κύριε, ὑπὲρ τοῦ βασιλέως, καὶ τῶν ἐν ὑπεροχῇ καὶ παντὸς τοῦ στρατοπέδου, ἵνα εἰρηνεύωσι τὰ πρὸς ἡμᾶς; ὅπως ἐν ἡσυχίᾳ καὶ ὁμονοίᾳ διάγοντες τὸν πάντα χρόνον τῆς ζωῆς ἡμῶν, δοξάζωμέν σε διὰ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν. ἔτι προσφέρομέν σοι καὶ ὑπὲρ πάντων τῶν ἀπὸ αἰῶνος εὐαρεστησάντων σοι ἁγίων, πατριαρχῶν, προφητῶν, δικαίων, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ψαλτῶν, παρθένων, χηρῶν, λαϊκῶν καὶ πάντων, ὧν αὐτὸς ἐπίστασαι τὰ ὀνόματα. ἔτι προσφέρομέν σοι ὑπὲρ τοῦ λαοῦ τούτου, ἵνα ἀναδείξῃς αὐτὸν εἰς ἔπαινον τοῦ Χριστοῦ σου βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ, ὑπὲρ τῶν χηρῶν τῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν σεμνοῖς γάμοις καὶ τεκνογονίαις, ὑπὲρ τῶν νηπίων τοῦ λαοῦ σου, ὅπως μηδένα ἡμῶν ἀπόβλητον ποιήσῃς. ἔτι ἀξιοῦμέν σε καὶ ὑπὲρ τῆς πόλεως ταύτης καὶ τῶν ἐνοικούντων, ὑπὲρ τῶν ἐν ἀῤῥωστίαις, ὑπὲρ τῶν ἐν πικρᾷ δουλείᾳ, ὑπὲρ τῶν ἐν ἐξορίαις, ὑπὲρ τῶν ἐν δημεύσει, ὑπὲρ πλεόντων, καὶ ὁδοιπορούντων, ὅπως ἐπίκουρος γένῃ, πάντων βοηθὸς καὶ ἀντιλήπτωρ. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν μισούν-

Digitized by Google

ων ἡμᾶς καὶ διωκόντων ἡμᾶς διὰ τὸ ὄνομά σου, ὑπὲρ ὧν ἔξω ὄντων καὶ πεπλανημένων, ὅπως ἐπιστρέψῃς αὐτοὺς εἰς ἀγαθὸν, καὶ τὸν θυμὸν αὐτῶν πραΰνῃς. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν κατηχουμένων τῆς ἐκκλησίας, καὶ ὑπὲρ τῶν χειμαζομένων ὑπὸ τοῦ ἀλλοτρίου, καὶ ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν ἡμῶν, ὅπως τοὺς μὲν τελειώσῃς ἐν τῇ πίστει, τοὺς δὲ καθαρίσῃς ἐκ τῆς ἐνεργείας τοῦ πονηροῦ, τῶν δὲ τὴν μετάνοιαν προσδέξῃ, καὶ συγχωρήσῃς καὶ αὐτοῖς καὶ ἡμῖν τὰ παραπτώματα ἡμῶν. ἔτι προσφέρομέν σοι καὶ ὑπὲρ τῆς εὐκρασίας τοῦ ἀέρος καὶ τῆς εὐφορίας τῶν καρπῶν· ὅπως ἀνελλειπῶς μεταλαμβάνοντες τῶν παρὰ σοῦ ἀγαθῶν, αἰνῶμέν σε ἀπαύστως, τὸν διδόντα τροφὴν πάσῃ σαρκί. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν δι' εὔλογον αἰτίαν ἀπόντων, ὅπως ἅπαντας ἡμᾶς διατηρήσας ἐν τῇ εὐσεβείᾳ, ἐπισυναγάγῃς ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ σου, τοῦ Θεοῦ πάσης αἰσθητῆς καὶ νοητῆς φύσεως, τοῦ βασιλέως ἡμῶν, ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους· ὅτι σοι πᾶσα δόξα, σέβας καὶ εὐχαριστία, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, καὶ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀνελλειπεῖς καὶ ἀτελευτήτους αἰῶνας τῶν αἰώνων.

Beilage Nr. XLI.

Zu §. 119. n. 29.

Dankgebet nach dem Abendmahl. *Constit.* VIII, 14. 15.

Καὶ ὁ διάκονος λεγέτω, παυσαμένου τοῦ ψάλλοντος· Μεταλαβόντες τοῦ τιμίου σώματος, καὶ τοῦ τιμίου αἵματος τοῦ Χριστοῦ, εὐχαριστήσωμεν τῷ καταξιώσαντι ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων αὐτοῦ μυστηρίων, καὶ παρακαλέσωμεν, μὴ εἰς κρίμα, ἀλλ' εἰς σωτηρίαν ἡμῖν γενέσθαι, εἰς ὠφέλειαν ψυχῆς καὶ σώματος, εἰς φυλακὴν εὐσεβείας, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἐγειρώμεθα. ἐν χάριτι Χριστοῦ ἑαυτοὺς τῷ Θεῷ τῷ μόνῳ ἀγεννήτῳ Θεῷ, καὶ τῷ Χριστῷ αὐτοῦ παραθώμεθα.

Digitized by Google

Καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω· Δέσποτα ὁ Θεὸς ὁ παντοκράτορ, ὁ πατὴρ τοῦ Χριστοῦ σου τοῦ εὐλογητοῦ παιδὸς, ὁ τῶν μετ' εὐθύτητος ἐπικαλουμένων σε ἐπήκοος, ὁ καὶ τῶν σιωπώντων ἐπιστάμενος τὰς ἐντεύξεις· εὐχαριστοῦμέν σοι, ὅτι κατηξίωσας ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων σου μυστηρίων, ἃ παρέσχου ἡμῖν, εἰς πληροφορίαν τῶν καλῶς ἐγνωσμένων, εἰς φυλακὴν τῆς εὐσεβείας, εἰς ἄφεσιν πλημμελημάτων· ὅτι τὸ ὄνομα τοῦ Χριστοῦ σου ἐπικέκληται ἐφ' ἡμᾶς, καί σοι προσφκειώμεθα. ὁ χωρίσας ἡμᾶς τῆς τῶν ἀσεβῶν κοινωνίας, ἕνωσον ἡμᾶς μετὰ τῶν καθωσιωμένων σοι, στήριξον ἡμᾶς ἐν τῇ ἀληθείᾳ τῇ τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσει, τὰ ἀγνοούμενα ἀποκάλυψον, τὰ λείποντα προσαναπλήρωσον, τὰ ἐγνωσμένα κράτυνον· τοὺς ἱερεῖς ἀμώμους διαφύλαξον ἐν τῇ λατρείᾳ σου· τοὺς βασιλεῖς διατήρησον ἐν εἰρήνῃ, τοὺς ἄρχοντας ἐν δικαιοσύνῃ, τοὺς ἀέρας ἐν εὐκρασίᾳ, τοὺς καρποὺς ἐν εὐφορίᾳ, τὸν κόσμον ἐν παναλκεῖ προνοίᾳ. τὰ ἔθνη τὰ πολεμικὰ πράϋνον· τὰ πεπλανημένα ἐπίστρεψον, τὸν λαόν σου ἁγίασον. τοὺς ἐν παρθενίᾳ διατήρησον· τοὺς ἐν γάμῳ διαφύλαξον ἐν πίστει· τοὺς ἐν ἁγνείᾳ ἐνδυνάμωσον· τὰ νήπια ἄδρυνον· τοὺς νεοτελεῖς βεβαίωσον· τοὺς ἐν κατηχήσει παίδευσον, καὶ τῆς μυήσεως ἀξίους ἀνάδειξον· καὶ πάντας ἡμᾶς ἐπισυνάγαγε εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας, καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Beilage Nr. XLII.

Zu §. 119. n. 30.

Gebet des Bischofs nach dem Abendmahl. *Constit.* VIII, 15.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀληθινὸς καὶ ἀσύγκριτος, ὁ πανταχοῦ ὢν καὶ τοῖς πᾶσι παρὼν καὶ ἐν οὐδενὶ ὡς ἐνόντι ὑπάρχων, ὁ τόποις μὴ περιγραφόμενος, ὁ χρόνοις μὴ παλαιούμενος, ὁ αἰῶσι μὴ περατούμενος, ὁ λόγοις μὴ

Digitized by Google

ταραγόμενος, ὁ γενέσει μὴ ὑποκείμενος, ὁ φυλακῆς μὴ δεόμενος, ὁ φθορᾶς ἀνώτερος, ὁ τροπῆς ἀνεπίδεκτος, ὁ φύσει ἀναλλοίωτος, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὁ τῇ φύσει ἀόρατος, ὁ γνωστὸς πάσαις ταῖς μετ' εὐνοίας ἐκζητούσαις τε λογικαῖς φύσεσιν, ὁ καταλαμβανόμενος ὑπὸ τῶν ἐν ὑνοίᾳ ἐπιζητούντων σε· ὁ Θεὸς Ἰσραὴλ, τοῦ ἀληθινῶς ὁρῶντος, τοῦ εἰς Χριστὸν πιστεύσαντος λαοῦ σου· εὐμενὴς γενόμενος ἐπάκουσόν μου διὰ τὸ ὄνομά σου, καὶ εὐλόγησον τούς σοι κεκλικότας τοὺς ἑαυτῶν αὐχένας, καὶ δὸς αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν τὰ ἐπὶ συμφέροντι, καὶ μηδένα αὐτῶν ἀπόβλητον ποιήσῃς ἐκ τῆς βασιλείας σου, ἀλλὰ ἁγίασον αὐτούς, φρούρησον, σκέπασον, ἀντιλαβοῦ, ῥῦσαι τοῦ ἀλλοτρίου, καὶ παντὸς ἐχθροῦ, τοὺς οἴκους αὐτῶν φύλαξον, τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους φρούρησον· ὅτι σοι δόξα, αἶνος, μεγαλοπρέπεια, σέβας, προσκύνησις, καὶ τῷ σῷ παιδὶ Ἰησοῦ τῷ Χριστῷ σου τῷ κυρίῳ ἡμῶν καὶ Θεῷ καὶ βασιλεῖ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Beilage Nr. XLIII.

Zu §. 123. n. 7.

Gebet bei der Leichenfeier. *Constit.* VIII, 41.

Ὑπὲρ ἀναπαυσαμένων ἐν Χριστῷ ἀδελφῶν ἡμῶν δεηθῶμεν· ὅπως ὁ φιλάνθρωπος Θεὸς, ὁ προσδεξάμενος αὐτοῦ τὴν ψυχὴν, παρείδῃ αὐτῷ πᾶν ἁμάρτημα ἑκούσιον καὶ ἀκούσιον, καὶ ἵλεως καὶ εὐμενὴς γενόμενος, κατατάξῃ εἰς χώραν εὐσεβῶν, ἀνειμένων εἰς κόλπον Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, μετὰ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων, καὶ ποιησάντων τὸ θέλημα αὐτοῦ· ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. ἐγειρώμεθα. ἑαυτοὺς καὶ ἀλλήλους τῷ ἀϊδίῳ Θεῷ διὰ τοῦ ἐν ἀρχῇ λόγου παραθώμεθα. Καὶ ὁ ἐπίσκοπος λεγέτω· ὁ τῇ φύσει ἀθάνατος καὶ ἀτελεύτητος, παρ' οὗ πᾶν ἀθάνατον καὶ θνη-

Digitized by Google

τὸν γέγονεν· ὁ τὸ λογικὸν ζῶον τὸν ἄνθρωπον τὸν κοσμοπολίτην, θνητὸν ἐν κατασκευῇ ποιήσας, καὶ ἀναστασίαν ἐπαγγειλάμενος· ὁ τὸν Ἐνὼχ καὶ τὸν Ἠλίαν θανάτου πεῖραν μὴ ἐάσας λαβεῖν· ὁ Θεὸς Ἀβραὰμ, ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, οὐχ ὡς νεκρῶν, ἀλλ' ὡς ζώντων Θεὸς εἶ· ὅτι πάντων αἱ ψυχαὶ παρὰ σοὶ ζῶσι, καὶ τῶν δικαίων τὰ πνεύματα ἐν τῇ χειρί σου εἰσὶν, ὧν οὐ μὴ ἅψηται βάσανος· πάντες γὰρ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου εἰσίν· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τόνδε, ὃν ἐξελέξω, καὶ προσελάβου εἰς ἑτέραν λῆξιν, καὶ συγχώρησον αὐτῷ εἴ τι ἑκὼν ἢ ἄκων ἐξήμαρτε, καὶ ἀγγέλους εἰρηνεῖς παράστησον αὐτῷ, καὶ κατάταξον αὐτὸν ἐν τῷ κόλπῳ τῶν πατριαρχῶν καὶ τῶν προφητῶν καὶ τῶν ἀποστόλων καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ὅπου οὐκ ἔνι λύπη, ὀδύνη καὶ στεναγμὸς, ἀλλὰ χῶρος εὐσεβῶν ἀνημένος, καὶ γῆ εὐθέων συνανημένη, καὶ τῶν ἐν αὐτῇ ὁρώντων τὴν δόξαν τοῦ Χριστοῦ σου· δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας, εὐχαριστία, προσκύνησις, ἐν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν. Καὶ ὁ διάκονος λεγέτω· κλίνατε, καὶ εὐλογεῖσθε. καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω ὑπὲρ αὐτῶν, λέγων τοιάδε· σῶσον, κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου· ποίμανον αὐτοὺς ὑπὸ τὴν δεξιάν σου, καὶ σκέπασον αὐτοὺς ὑπὸ τὰς πτέρυγάς σου, καὶ δὸς αὐτοῖς τὸν ἀγῶνα ἀγωνίσασθαι καλὸν, τὸν δρόμον τελέσαι, τὴν πίστιν τηρῆσαι ἀτρέπτως, ἀμέμπτως, ἀνεγκλήτως, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀγαπητοῦ σου παιδός· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Digitized by Google

Beilage Nr. XLIV.

Zu §. 123. n. 7.

Der Trauergottesdienst nach *Pseudo-Dionys.* de eccles. hierarch. c. VII.

Οἱ δὲ τοῦ κοιμηθέντος οἰκεῖοι, κατὰ τὴν θείαν οἰκειότητα καὶ ὁμοτροπίαν, αὐτόν τε, ὅς τίς ἐστι, μακαρίζουσι, πρὸς τὸ νικηφόρον εὐκταίως ἀφικόμενον τέλος, καὶ τῷ τῆς νίκης αἰτίῳ χαριστηρίους ᾠδὰς ἀναπέμπουσι, πρόσεται καὶ αὐτοὺς ἀφικέσθαι πρὸς τὴν ὁμοίαν εὐχόμενοι λῆξιν· λαβόντες δὲ αὐτὸν, ἐπὶ τὸν ἱεράρχην ἄγουσιν, ὡς ἐπὶ στεφάνων ἱερῶν δόσιν· ὁ δὲ ἀσμένως ὑποδέχεται καὶ τελεῖ τὰ κατὰ θεσμὸν ἱερῶν ἐπὶ τοῖς ὁσίως κεκοιμημένοις τελούμενα. — — Συναγαγὼν ὁ θεῖος ἱεράρχης τὸν ἱερὸν χορὸν, εἰ μὴν ἱερατικῆς ἐγεγόνει τάξεως ὁ κεκοιμημένος, ἐπίπροσθεν τοῦ θείου θυσιαστηρίου κατακλίνας αὐτὸν, ἀπάρχεται τῆς πρὸς Θεὸν εὐχῆς καὶ εὐχαριστίας· εἰ δὲ τοῖς εὐαγέσι μοναχοῖς ἢ τῷ ἱερῷ λαῷ κατετέτακτο παρὰ τὸ τίμιον ἱερατεῖον αὐτὸν κατακλίνει, πρὸ τῆς ἱερατικῆς εἰσελεύσεως. Εἶτα τελεῖ τὴν πρὸς Θεὸν εὐχαριστήριον εὐχὴν ὁ ἱεράρχης· ἑξῆς δὲ οἱ λειτουργοὶ τὰς ἐν τοῖς θείοις λογίοις ἐμφερομένας ἀψευδεῖς ἐπαγγελίας περὶ τῆς ἱερᾶς ἡμῶν ἀναστάσεως ἀναγνόντες ἱερῶς ᾄδουσι τὰς ὁμολόγους καὶ ταυτοδυνάμους τῶν ψαλμικῶν λογίων ᾠδάς. εἶτα τῶν λειτουργῶν ὁ πρῶτος ἀπολύει τοὺς κατηχουμένους, καὶ ἀνακηρύττει τοὺς ἤδη κεκοιμημένους ἁγίους, μεθ' ὧν ἀξιοῖ τὸν ἄρτι τελειωθέντα τῆς ὁμοταγοῦς ἀναῤῥήσεως, καὶ προτρέπεται πάντας αἰτῆσαι τὴν ἐν Χριστῷ μακαρίαν τελείωσιν· εἶτα προσελθὼν ὁ θεῖος ἱεράρχης, εὐχὴν ἱερωτάτην ἐπ' αὐτῷ ποιεῖται, καὶ μετὰ τὴν εὐχὴν, αὐτός τε ὁ ἱεράρχης ἀσπάζεται τὸν κεκοιμημένον, καὶ μετ' αὐτὸν οἱ παρόντες ἅπαντες. Ἀσπασαμένων δὲ πάντων, ἐπιχέει τῷ κεκοιμημένῳ τὸ ἔλαιον ὁ ἱεράρχης, καὶ τὴν ὑπὲρ πάντων εὐχὴν ἱερὰν ποιησάμενος, ἀποτίθησιν ἐν οἴκῳ τιμίῳ τὸ σῶμα, μεθ' ἑτέρων ὁμοταγῶν ἱερῶν σωμάτων.

Digitized by Google

Beilage Nr. XLV.

Zu §. 127. n. 3.

Brief des Eusebius, Bischofs von Cäsarea, an die kaiserliche Prinzessin Constantia.

(Nach *Boivin*, annot. ad Niceph. Greg.)

Ἐπεὶ δὲ καὶ περί τινος εἰκόνος ὡς δὴ τοῦ Χριστοῦ γέγραφας, εἰκόνα βουλομένη σοι ταύτην ὑφ' ἡμῶν πεμφθῆναι· τίνα λέγεις καὶ ποίαν ταύτην, ἣν φῂς τοῦ Χριστοῦ εἰκόνα; (Οἶκ οἶδα πόθεν αὐτὴ ὁρμηθεῖσα τοῦ Σωτῆρος ἡμῶν διαγράψαι εἰκόνα προστάττεις. ποίαν τοῦ Χριστοῦ εἰκόνα ἐπιζητεῖς;) πότερον τὴν ἀληθῆ καὶ ἀμετάλλακτον, καὶ φύσει τοὺς αὐτοῦ χαρακτῆρας φέρουσαν ἢ ταύτην ἣν δι' ἡμᾶς ἀνείληφε, τῆς τοῦ δούλου μορφῆς περιθέμενος τὸ σχῆμα; (ὁ γὰρ τοῦ Θεοῦ λόγος καὶ Θεὸς, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας τὴν ἁμαρτίαν κατέκρινεν, ἣ φησιν ὁ Θεῖος ἀπόστολος, οὕτως ἡμᾶς τῆς παλαιᾶς πικρίας καὶ δαιμονικῆς δουλείας τῷ τιμίῳ αἵματι λυτρωσάμενος ἀπηλευθέρωσε, δύο οὖν μορφῶν αὐτῷ παρισταμένων.) περὶ μὲν τῆς τοῦ Θεοῦ μορφῆς οὐδὲ αὐτὸς ἡγοῦμαί σε ζητεῖν, ἅπαξ παρ' αὐτοῦ παιδευομένην, ὅτι οὔτε τὸν πατέρα τις ἔγνω, εἰ μὴ ὁ υἱός, οὐδ' αὐτὸν υἱὸν γνοίη ποτέ τις ἐπαξίως, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατὴρ . . . . . ἀλλὰ γὰρ πάντως τῆς τοῦ δούλου μορφῆς ἐπιζητεῖς καὶ οὗ δι' ἡμᾶς περιεβλήθη σαρκίου· ἀλλὰ καὶ τοῦτο τῇ δόξῃ τῆς Θεότητος ἀνακεκρᾶσθαι μεμαθήκαμεν, καὶ καταπεπόσθαι τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. (καὶ οὔτι που θαυμαστὸν, εἰ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοιοῦτόν που πέφηνεν, ὁπότε καὶ ἐν ἀνθρώποις ἔτι βιοτεύων ὁ Θεὸς λόγος, τοῖς ἐγκρίτοις τῶν ἑαυτοῦ λόγων προαρραβωνιζόμενος τὴν θέαν τῆς αὐτοῦ βασιλείας, μεταβαλὼν τὴν τοῦ δούλου μορφὴν, αὐτὴν ἐκείνην ἐπὶ τοῦ ὄρους ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν ἐπιδέδεικται· ὅτε τὸ μὲν πρόσωπον αὐτοῦ ἀπήστραψεν ὡς

Digitized by Google

ὁ ἥλιος, τὰ δὲ ἱμάτια ὡς τὸ φῶς.) τίς οὖν τῆς τοσαύτης ἀξίας τε καὶ δόξης τὰς ἀποστιλβούσας καὶ ἀπαστραπτούσας μαρμαρυγὰς οἷός τε ἂν εἴη καταχαράξαι νεκροῖς καὶ ἀψύχοις χρώμασι καὶ σκιογραφίαις, ὁπότε μηδὲ ἐμβλέψαι αὐτῷ, (τοῦτον ὀφθέντι τὸν τρόπον,) οἱ θεσπέσιοι ὑπέμειναν μαθηταὶ, οἵ γε ἔπεσον ἐπὶ πρόςωπον, ἀφόρητον αὐτοῖς τὸ θεώμενον ὁμολογήσαντες; εἰ δ' οὖν τότε ἡ ἐν σαρκὶ αὐτοῦ μορφὴ τοσαύτης ἔλαχε δυνάμεως, πρὸς τῆς ἐνοικούσης αὐτῇ θεότητος μεταβληθεῖσα, τί χρὴ λέγειν, ὅτε τὴν θνητότητα ἀποδὺς, καὶ τὴν φθορὰν ἀπονιψάμενος, τῆς τοῦ δούλου μορφῆς τὸ εἶδος εἰς τὴν τοῦ δέσποτου καὶ Θεοῦ δόξαν μετεσκευάσατο μετὰ τὴν κατὰ τοῦ θανάτου νίκην, καὶ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον, καὶ μετὰ τὴν ἐν τῷ βασιλικῷ θρόνῳ ἁμφὶ τὰ δεξιὰ τοῦ πατρὸς ἵδρυσιν, μετὰ τὴν ἐν τοῖς ἀκατονομαστοῖς καὶ ἀῤῥήτοις κόλποις τοῦ πατρὸς ἀνάπαυσιν, εἰς ἣν ἁγιότητα καὶ ἀποκαθιστάμενον αἱ οὐράνιαι δυνάμεις ἀνευφήμουν, λέγουσαι· ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης, (οὐκοῦν καὶ ἡ τοῦ δούλου μορφὴ ἐν τοιούτοις γινομένη, ἐξ ὅλων ὅλη μεταβέβληται ἐπὶ φῶς αὐτοῦ ἄῤῥητον καὶ ἀνεκδιήγητον, αὐτῷ τῷ Θεῷ λόγῳ πρέπον φῶς, ὅπερ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. πῶς οὖν τις τῶν ἀδυνάτων ἐφίκοιτο; πῶς δὲ τῆς οὕτω θαυμαστῆς καὶ ἀῤῥήπτου μορφῆς, εἴγε χρὴ μορφὴν ἔτι καλεῖν τὴν ἔνθεον καὶ νοερὰν οὐσίαν, εἰκόνα τις ζωγραφήσειεν; εἰ μὴ τοῖς ἀπίστοις ἔθνεσιν ὁμοίως τὰ μηδαμῇ μηδαμῶς ἐοικότα ἑαυτῷ τις ἀναζωγραφήσειεν, ὥςπερ γραφεὺς μηδὲν ἐοικότα γράφων. τοιοῦσδε γὰρ κἀκεῖνοι ἀνειδωλοποιοῦντες ἤ ποτε Θεὸν, ὡς ἠγοῦνται, ἤ τινα (ὡς ἂν φαῖεν) ἡρώων, ἤ τις τῶν τοιούτων πλάττειν καὶ ἀπεικάζειν ἐθέλοιεν, οὐδὲν ὅμοιον, οὐδὲ ἐγγὺς, οἷοί τε ὄντες γράφειν, ἀλλόκοτα σκιογραφοῦσιν, ἀνδρείκελα σχήματα διαχαράττοντες. ἡμῖν δὲ ὅτι μὴ δίκαιον τὰ τοιαῦτα, πάντως που καὶ αὐτὴ συμβάλλεις. ἀλλ' εἰ μὴ τῆς εἰς Θεὸν μεταβληθείσης μορφῆς, ἀλλὰ τοῦ

Digitized by Google

πρὸ τῆς μεταβολῆς σαρκίου αὐτοῦ δὴ τοῦ θνητοῦ τὴν εἰκόνα φῆς παρ' ἡμῶν αἰτεῖν. ἆρα γὰρ τοῦτό σε μόνον διέλαθεν τὸ ἀνάγνωσμα, ἐν ᾧ ὁ θεὸς νομοθετεῖ μὴ ποιεῖν ὁμοίωμα, μήτε τῶν ὅσα ἐν τῷ οὐρανῷ, μήτε τῶν ὅσα ἐν τῇ γῇ κάτω; ἢ ἔστιν ὅτε ἐν ἐκκλησίᾳ τὸ τοιοῦτον ἢ αὐτὴ, ἢ καὶ παρ' ἄλλου τοῦτο ἤκουσας; οὐχὶ ἡ καθ' ὅλης τῆς οἰκουμένης ἐξώρισται καὶ πόρρω τῶν ἐκκλησιῶν πεφυγάδευται τὰ τοιαῦτα, μόνος τε ἡμῖν μὴ ἐξεῖναι τὸ τοιοῦτον ποιεῖν παρὰ πᾶσι βεβόηται; ... οὐκ οἶδα γὰρ ὅπως γύναιόν τι μετὰ χεῖρας πρτε δύο τινὰς φέρουσα καταγεγραμμένους, ὡς ἂν φιλοσόφους, ἀπερώτητον λόγων; ὡς ἂν εἶεν Παύλου καὶ ταῦ Σωτῆρος· οὐκ ἔγνω λέγειν, οὔτε ὁπόθεν λαβοῦσα, οὔτε ὅθεν τοῦτο μαθοῦσα. ἵνα μὴ δὲ αὐτὴ μηδὲ ἕτεροι σκανδαλίζοιντο, ἀφελόμενος ταύτην παρ' ἐμαυτὸν κατεῖχον, οὐχ ἡγούμενος καλῶς ἔχειν εἰς ἑτέρους ὅλως ἐκφέρειν ταῦτα, ἵνα μὴ δοκῶμεν δίκην εἰδωλολατρούντων τὸν Θεὸν ἡμῶν ἐν εἰκόνι περιφέρειν. Παύλου τε ἀκούω πάντας ἡμᾶς παιδεύοντος, μηκέτι τοῖς σαρκικοῖς προσανέχειν. εἰ γὰρ ἐγνώμεν, φησι, κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. Σίμωνα τὸν μάγον λόγος ἔχει παρὰ τοῖς ἀθέοις αἱρεσιώταις προσκυνεῖσθαι, ἐν ἀψύχῳ ὕλῃ καταγεγραμμένον. ἐθεωρήσαμεν δὲ καὶ αὐτοὶ τὸν τῆς μανίας ἐπώνυμον ἀπὸ τῶν Μανιχαίων εἰκόνι δορυφορούμενον. ἡμῖν δὲ ἀπείρηται τὰ τοιαῦτα. Θεὸν γοῦν Κύριον τὸν Σωτῆρα ἡμῶν ὁμολογοῦντες, ὡς Θεὸν ἰδεῖν εὐτρεπιζόμεθα, πάσῃ σπουδῇ καθαίροντες αὐτοὶ τὰς ἑαυτῶν καρδίας, ὡς ἂν ἴδοιμεν αὐτὸν κεκαθαρμένοι. μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. εἰ δὲ ἐκ περιουσίας, πρὸ τῆς μελλούσης πρόσωπον εἰς πρόσωπον ὄψεώς τε καὶ θέας, τοῦ Σωτῆρος ἡμῶν τὰς εἰκόνας αὐτοὶ περὶ πολλοῦ τίθεσθε, τίνα μᾶλλον ἀγαθὸν ζωγράφον αὐτοῦ τοῦ θεοῦ λόγου ἔχοιμεν ἄν;

Digitized by Google

Beilage Nr. XLVI.

Zu §. 127. n. 7.

Aus des Leontius, Bischofs von Neapolis auf Cypern, λογος ὑπερ της Χριστιανων ἀπολογιας κατα Ἰουδαιων, και περι εἰκονων των ἁγιων.

Φέρε δὴ λοιπὸν περὶ τῶν σεπτογράφων εἰκόνων ἀπολογίαν ποιήσωμεν, ὅπως ἐμφραγῶσι στόματα λαλούντων ἀδικίαν. — Ὅνως φοβερὸς ὁ λόγος ὁ ἐντειλάμενος τῷ Ἰσραὴλ μὴ ποιῆσαι παντοῖον γλυπτὸν, μηδὲ εἰκόνα, μηδὲ ὁμοίωμα, ὅσα ἐστὶν ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐστὶν ἐπὶ τῆς γῆς· καὶ αὐτὸς προστάσσει τῷ Μωϋσεῖ ποιῆσαι γλυπτὰ ζῴδια, χερουβὶμ, ὡς καὶ τῷ Ἰεζεκιὴλ πλήρη εἰκόνων καὶ ὁμοιωμάτων γλυπτῶν, λεόντων, φοινίκων, καὶ ἀνθρώπων δεικνυσι τὸν ναόν. ὅθεν καὶ ὁ Σολομὼν ἐκ νόμου λαβὼν τὸν τύπον, πλήρη πεποίηκε τὸν ναὸν χαλκῶν, καὶ γλυπτῶν, καὶ χωνευτῶν λεόντων, καὶ βοῶν, καὶ φοινίκων, καὶ ἀνθρώπων· καὶ οὐ κατεγνώσθη ἐν αὐτῷ ὑπὸ Θεοῦ εἰ τοίνυν ἐμοῦ καταγινώσκειν θέλεις περὶ εἰκόνων, κατάγνωθι τοῦ Θεοῦ τοῦ ταῦτα ποιεῖν κελεύσαντος εἰς ὑπόμνησιν αὐτοῦ εἶναι παρ' ἡμῖν. ὁ Ἰουδαῖος ἔφη· ἀλλ' οὐ προσεκυνοῦντο ἐκεῖνα ὡς θεοὶ τὰ ὁμοιώματα, ἀλλ' ὑπομνήσεως μόνης χάριν ἐγένοντο. ὁ Χριστιανὸς ἔφη· καλῶς εἶπας, οὐδὲ παρ' ἡμῖν ὡς θεοὶ προσκυνοῦνται οἱ τῶν ἁγίων χαρακτῆρες καὶ εἰκόνες, καὶ τύποι. εἰ γὰρ ὡς Θεὸν προσεκύνουν τὸ ξύλον τῆς εἰκόνος ἔμελλον πάντως καὶ τὰ λοιπὰ ξύλα προσκυνεῖν. εἰ γὰρ ὡς Θεὸν προσεκύνουν τὸ ξύλον τῆς εἰκόνος, οὐκ ἂν πάντως λειανθέντος τοῦ χαρακτῆρος, τὴν εἰκόνα κατέκαιον. καὶ πάλιν ἕως μέν ἐστι συμπεπεδημένα τὰ δύο ξύλα τοῦ σταυροῦ, προσκυνῶ τὸν τύπον διὰ Χριστὸν τὸν ἐν αὐτῷ σταυρωθέντα· ἐπὰν δὲ διαιρεθῶσιν ἐξ ἀλλήλων, ῥίπτω αὐτὰ καὶ κατακαίω καὶ ὥσπερ ὁ κέλευσιν βασιλέως δεξάμενος, καὶ ἀσπασάμενος τὴν σφραγῖδα, οὐ τὸν πηλὸν ἐτίμησεν, ἢ τὸν χάρτην, ἢ

Digitized by Google

τὸν μόλυβδον, ἀλλὰ τῷ βασιλεῖ τὴν προσκύνησιν καὶ τὸ σέβας ἀπένειμεν· οὕτω καὶ Χριστιανῶν παῖδες τὸν τύπον τοῦ σταυροῦ προσκυνοῦντες, οὐ φύσιν τοῦ ξύλου τιμῶμεν, ἀλλὰ σφραγῖδα καὶ δακτύλιον καὶ χαρακτῆρα Χριστοῦ αὐτὸν βλέποντες, δι' αὐτοῦ τὸν ἐν αὐτῷ σταυρωθέντα ἀσπαζόμεθα καὶ προσκυνοῦμεν. καὶ ὥσπερ παῖδες γνήσιοι πατέρος τινὸς ἀποδημήσαντος πρὸς καιρὸν ἀπ' αὐτῶν πολλῇ τῇ στοργῇ πρὸς αὐτὸν ἐκ ψυχῆς διακείμενοι, κἂν τὴν ῥάβδον αὐτοῦ ἐν τῷ οἴκῳ θεάσωνται, κἂν τὴν γλαμύδα, ταῦτα μετὰ δακρύων καταφιλοῦντες ἀσπάζονται καὶ οὐκ ἐκεῖνα τιμῶντες, ἀλλὰ τὸν πατέρα ποθοῦντες καὶ τιμῶντες· οὕτως καὶ ἡμεῖς οἱ πιστοὶ ἅπαντες ὡς μὲν ῥάβδον Χριστοῦ τὸν σταυρὸν προσκυνοῦμεν, ὡς δὲ ὑρόφον καὶ κοίτην αὐτοῦ τὸ πανάγιον μνῆμα, ὡς δὲ οἶκον τὴν φάτνην καὶ τὴν Βηθλεέμ, καὶ τὰ λοιπὰ ἅγια αὐτοῦ σκεύωματα· ὡς δὲ φίλους αὐτοῦ, τοὺς ἀποστόλους αὐτοῦ καὶ τοὺς ἁγίους μάρτυρας καὶ λοιποὺς ἁγίους. ὡς δὲ πόλιν αὐτοῦ σεβόμεθα τὴν Σιὼν, ὡς δὲ χώραν αὐτοῦ τὴν Ναζαρὲτ ἀσπαζόμεθα καὶ ὡς θεῖον αὐτοῦ λουτρὸν τὸν Ἰορδάνην περιπτυσσόμεθα. τῇ γὰρ πολλῇ καὶ ἀφάτῳ πρὸς αὐτὸν στοργῇ ἔνθα ἐπέβη, ἢ κεκάθικεν, ἢ ἐπέρανεν, ἢ ἥψατο, ἢ ὅλως ἐπεσκίασε, σεβόμεθα, καὶ προσκυνοῦμεν ὡς τόπον Θεοῦ· οὐ τὸν τόπον, οὐδὲ τὸν οἶκον, οὐδὲ τὴν χώραν, ἢ τὴν πόλιν, ἢ τοὺς λίθους τιμῶντες, ἀλλὰ τὸν ἐν αὐτοῖς ἀναστραφέντα καὶ ἐπιφανέντα καὶ γνωρισθέντα σαρκὶ, καὶ ἡμᾶς τῆς πλάνης ἐλευθερώσαντα Χριστὸν τὸν Θεὸν ἡμῶν· καὶ διὰ τὸν Χριστὸν καὶ τὰ Χριστοῦ πάθη ἐν ἐκκλησίαις, καὶ οἴκοις, καὶ ἀγοραῖς, καὶ ἐν σινδόσι καὶ ἐν ταμείοις, καὶ ἱματίοις, καὶ ἐν παντὶ τόπῳ ἐκτυποῦμεν. ἵνα διηνεκῶς ὁρῶντες ταῦτα ὑπομιμνῃσκώμεθα, καὶ μὴ ἐπιλανθανώμεθα, ὡς σὺ ἐπελάθου κυρίου τοῦ Θεοῦ σου· καὶ ὥσπερ σὺ προσκυνῶν τὸ βιβλίον τοῦ νόμου, οὐ τὴν φύσιν τῶν ἐν αὐτῷ δερμάτων καὶ τοῦ μέλανος προσκυνεῖς, ἀλλὰ τοὺς λόγους τοῦ Θεοῦ τοὺς ἐν αὐτῷ κειμένους· οὕτως κἀγὼ τὴν εἰκόνα τοῦ Θεοῦ προσκυνῶν, οὐ τὴν φύσιν τῶν ξύλων καὶ χρωμάτων προσκυνῶ·

Digitized by Google

κυνῶ· μὴ γένοιτο· ἀλλὰ τὸν ἄψυχον χαρακτῆρα Χριστοῦ κρατῶν, δι' αὐτοῦ Χριστὸν κρατεῖν δοκῶ καὶ προςκυνεῖν. — — Ἐπεὶ καὶ αὐτὰ ἡμῶν τὰ τέκνα καὶ τοὺς πατέρας κτιστοὺς ὄντας καὶ ἁμαρτωλοὺς πολλάκις ἀσπαζόμεθα, καὶ οὐκ ἐν τούτῳ κατακρινόμεθα. οὐ γὰρ ὡς Θεοὺς αὐτοὺς ἀσπαζόμεθα, ἀλλὰ τὴν στοργὴν ἡμῶν τῆς φύσεως τὴν πρὸς αὐτοὺς διὰ τοῦ φιλήματος ἐνδεικνύμεθα. ὡς γοῦν πολλάκις εἶπον, ὁ σκοπὸς ἐξετάζεται ἐπὶ παντὸς ἀσπασμοῦ, καὶ ἐπὶ πάσης προςκυνήσεως. εἰ δὲ ἐγκαλεῖς μοι, ὅτι ὡς Θεὸν προςκυνῶ τὸ ξύλον τοῦ σταυροῦ, διὰ τί οὐκ ἐγκαλεῖς τῷ Ἰακὼβ προςκυνήσαντι ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσήφ; ἀλλὰ πρόδηλον, ὅτι οὐ τὸ ξύλον ἰδὼν προςεκύνησεν, ἀλλὰ διὰ τοῦ ξύλου τὸν Ἰωσὴφ, ὥςπερ καὶ ἡμεῖς διὰ τοῦ σταυροῦ τὸν Χριστόν. ἐπεὶ καὶ τοῖς πωλήσασι, τὸν τάφον ἀσεβέσιν ἀνθρώποις ὁ Ἀβραὰμ προςεκύνησε, καὶ γόνυ ἔκαμψεν ἐπὶ τὴν γῆν· ἀλλ' οὐχ ὡς Θεοὺς αὐτοὺς προςεκύνησε. — Καὶ σὺ μὲν τὴν σὴν σύμβιον ἴσως καὶ ἄσεμνον οὖσαν καὶ ἐμπαθῆ καθ' ἑκάστην ἀσπαζόμενος, οὐ καταγνωστὸς εἶ· καίπερ οὐδαμοῦ σοι τοῦ Θεοῦ σωματικὸν ἀσπασμὸν γυναικὸς ἐντειλαμένου. ἐμὲ δὲ ἐπὰν ἴδῃς εἰκόνα τοῦ Χριστοῦ, ἢ τῆς παναμώμου αὐτοῦ μητρὸς, ἢ ἄλλου τινὸς δικαίου ἀσπαζόμενον, ἀγανακτεῖς, καὶ εὐθέως βλασφημῶν ἀποπηδᾷς, καὶ εἰδωλολάτρας ἡμᾶς ἀποκαλεῖς. — — Ἐκ λειψάνων πολλάκις μαρτύρων καὶ εἰκόνων ἐλαύνονται δαίμονες· καὶ ταῦτα ἐνυβρίζοντες ἄνθρωποι, μιαροὶ διαστρέφουσι, καὶ διαπαίζουσι, καὶ διαγελῶσι. πόσαι, εἰπέ μοι, ἐπισκιάσεις, πόσαι ἀναβλύσεις, πολλάκις δὲ καὶ αἱμάτων ῥύσεις ἐξ εἰκόνων καὶ λειψάνων μαρτύρων γεγόνασι; καὶ οἱ ἀσύνετοι τῇ καρδίᾳ ὁρῶντες οὐ πείθονται ἀλλὰ μύθους ταῦτα καὶ λήρους λογίζονται. ὁρῶντες οὕτως τὸ καθ' ἡμέραν ἐν πάσῃ τῇ οἰκουμένῃ σχεδὸν ἄνδρας ἀσεβεῖς καὶ παρανόμους, εἰδωλολάτρας, καὶ φονεῖς, πόρνους καὶ λῄστας ἐξαίφνης διὰ τὸν Χριστὸν καὶ τὸν σταυρὸν αὐτοῦ κατανυσσομένους καὶ κόσμου παντὸς ἀποτασσομένους, καὶ πᾶσαν ἀρετὴν ἐργαζομένους. εἰπέ μοι, πῶς ἔσμεν εἰδωλο-

Digitized by Google

λάτραι, οἱ καὶ αὐτὰ τὰ ὀστᾶ καὶ τὴν κόνιν, καὶ τὰ ῥάκη, καὶ τὸ αἷμα, καὶ τὴν σορὸν τῶν μαρτύρων προσκυνοῦντες καὶ τιμῶντες, διὰ τὸ μὴ θῦσαι αὐτοὺς τοῖς εἰδώλοις; — — — Καὶ ὥσπερ βασιλέως τινὸς ἀπὸ θοῦ στέφανον ποικίλον καὶ πολύτιμον ἑαυτῷ ἰδιαίτερος κατασκευάσαντος, πάντες οἱ γνησίως προσκείμενοι τῷ βασιλεῖ, ἀσπάζονται καὶ τιμῶσι τὸν στέφανον, οὐ τὸν χρυσὸν ἢ τὸν μαργαρίτην τιμῶντες, ἀλλὰ τὴν κορυφὴν τοῦ βασιλέως ἐκείνου τιμῶντες, καὶ τὰς παυσόφρους αὐτοῦ χεῖρας τὰς τὸν στέφανον κατασκευασάσας· οὕτως ὦ ἄνθρωπε, οἱ Χριστιανῶν λαοὶ ὅσους ἐὰν τύπους σταυροῦ καὶ εἰκόνων ἀσπάζονται, οὐκ αὐτοῖς τὸ σέβας τοῖς ξύλοις ἢ τοῖς λίθοις προσάγουσιν, ἢ τῷ χρυσῷ, ἢ τῇ φθαρτῇ εἰκόνι, ἢ τῇ λάρνακι, ἢ τοῖς λειψάνοις, ἀλλὰ δι' αὐτῶν τῷ Θεῷ τῷ καὶ αὐτῶν καὶ πάντων ποιητῇ τὴν δάξαν καὶ τὸν ἀσπασμὸν καὶ τὸ σέβας προσφέρουσιν. — — Πλὴν καὶ πολλὰ θαυμάσια ὁ θεὸς διὰ ξύλου ἀκούεται πεποίηκε, ξύλον ζωῆς, ξύλον γνώσεως ὀνομάσας· καὶ ἄλλο φυτὸν ὀνομάσας Σαβὲκ, συγχωρήσεως τίθησιν. — — Ὁ οὖν διὰ τοσούτων ξύλων θαυματουργήσας Θεὸς οὐ δύναται, εἰπέ μοι, θαυματουργεῖν καὶ διὰ τοῦ τιμίου ξύλου τοῦ ἁγίου σταυροῦ; — — Ἀλλ' ἐρεῖς μοι, ὅτι ὁ Θεὸς τῷ Μωϋσῇ προσέταξε ποιῆσαι ἐν τῷ ναῷ τὰ γλυπτά· κἀγὼ τοῦτο λέγω. ἀλλ' ὁ Σολομὼν ἐκεῖθεν ὁδηγηθεὶς καὶ πλείονα ἐν τῷ ναῷ κατεσκεύασεν, ἅπερ οὐδὲ ὁ Θεὸς αὐτῷ προσέταξεν, οὐδὲ ἡ σκευὴ τοῦ μαρτυρίου ἔσχεν, οὔτε ὁ ναὸς ὃν Ἰεζεκιὴλ ἐν Θεοῦ ἑώρακε καὶ οὐ κατεγνώσθη ἐν τούτῳ Σολομών. εἰς δόξαν γὰρ Θεοῦ μορφὰς κατεσκεύασεν, ὥσπερ καὶ ἡμεῖς. — — Ὅταν οὖν ἴδῃς Χριστιανοὺς προσκυνοῦντας τὸν σταυρὸν, γνῶθι ὅτι τῷ σταυρωθέντι Χριστῷ τὴν προσκύνησιν προσάγουσι, καὶ οὐ τῷ ξύλῳ. ἐπεὶ εἰ τὴν φύσιν τοῦ ξύλου ἔσεβον, πάντως ἂν καὶ τὰ δένδρα καὶ τὰ ἄλση προσεκύνουν, ὥσπερ καὶ σύ ποτε ὁ Ἰσραὴλ προσεκύνεις τούτοις, λέγων τῷ δένδρῳ καὶ τῷ ξύλῳ· σύ μου εἶ Θεὸς καὶ σύ με ἐγέννησας. — — Πάλιν δὲ οὐχ

Digitized by Google

οὕτως λέγομεν ἡμεῖς τῷ σταυρῷ, οὐδὲ ταῖς μορφαῖς τῶν ἁγίων· θεοὶ ἡμῶν ἐστέ· οὐ γάρ εἰσι θεοὶ ἡμῶν, ἀλλ' ὁμοιώματα εἰκόνες Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ, πρὸς ἀνάμνησιν, καὶ τιμὴν καὶ εὐπρέπειαν ἐκκλησιῶν προκείμενα καὶ προσκυνούμενα· ὁ γὰρ τιμῶν τὸν μάρτυρα, τὸν Θεὸν τιμᾷ, καὶ ὁ τῇ μητρὶ αὐτοῦ προσκυνῶν, αὐτῷ τὴν τιμὴν προσάγει, καὶ ὁ τὸν ἀπόστολον τιμῶν, τὸν ἀποστείλαντα τιμᾷ. — —

Digitized by Google

Zusätze.

Zu §. 6. n. 5.

Ueber die Apostol. Constitut. oder Neue Untersuchung über die Bestandtheile, Entstehung und Zusammensetzung und den kirchlichen Werth dieser alten Schrift. In der Tübinger theolog. Quartalschrift 1829. Heft 3. p. 397 ff. u. 4. p. 1 ff.

Zu §. 7. n. 1.

Ueber die Ableitung von τροῦλλος.

Conc. Oec. VI. act. 1. Die Synode versammelt sich ἐν τῷ στερεώτῳ τοῦ θείου παλατίου τῷ οὕτω λεγομένῳ τρούλλῳ. Vgl. Vita S. Steph. Jun. Mart. auct. *Stephan.* Diac. (Analecta Gr. Mon. Benedict. Par. 1688. 4. T. I. p. 482.): σύνοδος ἐν τῷ ἱερῷ παλατίῳ ἔνθα ἐπιλέγεται ὁ τροῦλλος, ὅπερ ἡμεῖς ὥατον καλοῦμεν. Cfr. *Dufresne* zu Paul. Silent. p. 547.

Zu §. 8. n. 1.

Knapp und Gutensohn versprechen zu ihrem Werke eine archäologische Beschreibung der Röm. Basiliken von A. Nibby, Prof. der Archäologie an der Universität zu Rom.

Zu §. 9.

p. 13. Z. 13. v. u. einzufügen:

F. X. Mannhardt, Lib. singul. de Antiquitat. Christianorum. Aug. Vindel. 1767. 8.

Zu §. 10. n. 1.

Die Heiden sprachen das ihnen weniger bekannte Χριστος häufig wie den Eigennamen Χρηστος aus; dieß erkennt man aus *Justin.* Apolog. I. p. 7.: ὅσον τε ἐκ τοῦ κατηγορουμένου ἡμῶν ὀνόματος χρηστότατοι ὑπάρχομεν. II. p. 8.: Χριστιανοὶ γὰρ εἶναι κατηγορούμεθα. τὸ δὲ χρηστὸν μισεῖσθαι οὐ δίκαιον. Vgl. *Athenagoras*, πρεσβεια περι Χριστιανων. p. 22. (ed. Lips. 1694. 8.): Die Heiden εἰς τὸ ὄνομα ὡς εἰς ἀδίκημα ἐνυβρίζουσιν. οὐδὲν δὲ τὸ ὄνομα ἐφ' ἑαυτοῦ καὶ δι' αὐτοῦ οὐ πονηρὸν οὔτε χρηστὸν

Digitized by Google

νομίζεται. διὰ δὲ τὰς ὑποκειμένας αὐτοῖς ἢ πονηρὰς ἢ ἀγαθὰς πράξεις, ἢ φλαῦρα ἢ ἀγαθὰ δοκεῖ. *Tertull*, Apol. 3: Christianus quantum interpretatio est, de unctione deducitur. Sed et cum perperam Chrestianus pronuntiatur a vobis (nam nec nominis certa est notitia penes vos) de suavitate vel benignitate (χρηστος) compositum est. Noch Ende des 3ten Jahrh. scheint dies gewöhnlich gewesen zu seyn. *Lactant.* instit. L. IV. c. 7: exponenda hujus nominis (Christi) ratio est propter ignorantium errorem, qui eum immutata litera Chrestum solent dicere. Diese Pronuntiationsweise erklärt die bekannte Stelle *Sueton.* Vita Claud. c. 25.

Zu §. 16.

Unter den Benennungen der Bischöfe kommt auch vor: Antistes. Vgl. *Augustin.* ep. 54. c. 4.

Zu §. 20. n. 8.

Die ἔκδικοι (= defensores, προστάται) der griech. Kirche des 5ten Jahrh. waren meist Cleriker, entweder Presbyteren (*Conc. Chalced.* act. 1.: Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος.) oder Diaconen (*Theodorus* Lector, fragm. b. Vales. p. 533: Ἰωάννης διάκονος καὶ ἔκδικος, τοῦ εὐαγοῦς οἴκου Στεφάνου τοῦ τῶν μαρτύρων πρώτου.). Im Occident seit dem Gesetz (S. d. §.) des Honorius Laien. Vgl. *Gothofr.* ad Cod. Theodos. XVI. 2. 38. Die Defensoren werden von dem *Conc. Chalced.* c. 23. mit folgendem Geschäft beauftragt: ὥρισεν ἡ ἁγία σύνοδος, τοὺς τοιούτους ὑπομιμνήσκεσθαι μὲν πρότερον διὰ τοῦ ἐκδίκου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας ἐπὶ τῷ ἐξελθεῖν τῆς βασιλευούσης πόλεως. εἰ δὲ τοῖς αὐτοῖς πράγμασιν ἐπιμένοιεν ἀναισχυντοῦντες καὶ ἄκοντας αὐτοὺς διὰ τοῦ αὐτοῦ ἐκβάλλεσθαι καὶ τοὺς ἰδίους καταλαμβάνειν τόπους. Auch über die Cleriker giebt ihnen eine Aufsicht Codex. *Justinian.* L. I. Tit. 3. l. 42. §. 10.: διὸ παντὶ τρόπῳ τοὺς κληρικοὺς ψάλλειν κελεύομεν, καὶ καταζητεῖσθαι αὐτοὺς παρὰ τῶν κατὰ καιρὸν θεοφιλεστάτων ἐπισκόπων καὶ δύω πρωτοπρεσβυτέρων ἑκάστης ἐκκλησίας καὶ τοῦ καλουμένου ἄρχοντος ἤτοι ἐξάρχου, καὶ τοῦ ἐκδίκου ἑκάστης ἁγιωτάτης ἐκκλησίας καὶ τοὺς μὴ εὑρισκομένους ἀμέμπτως ταῖς λειτουργίαις προσκαρτεροῦντας ἔξω τοῦ κλήρου καθίστασθαι. — Daß der ἔκδικος zuweilen auch auswärtige Geschäfte für seine Kirche hatte, zeigt *Conc. Ephes.* act. V.: Ἀσφάλιος πρεσβύτερος ὃς ἐστι μὲν τῆς Ἀντιοχέων ἐκκλησίας, ἐκδικεῖ δὲ ἐν Κωνσταντινουπόλει τὰ πράγματα τῆς αὐτῆς ἐκκλησίας. Wahrscheinlich ist hier von einem temporären Aufenthalt des Antioch. Ekdikos die Rede, sei es daß er für seine Kirche am Hofe Schutz und Recht suchte, oder daß er aus

Digitized by Google

Veranlassung einer zwischen seiner und der Constant. Kirche schwebenden Streitigkeit sich hier befand. Hieher gehört auch das in dem 5. u. 6. Jahrh. häufig vorkommende Amt der Ἀποκρισιάριοι, Apocrisiarii (responsales, responsarii), welche am kaiserlich griechischen Hofe als kirchliche Geschäftsträger der auswärtigen Bischöfe fungirten. *Justin.* Nov. 6. §. 2. Es kommen hauptsächlich von den grössern Metropolen solche Apocr. vor. So bei *Liberatus*, Archidiac. Carth. Breviar. causae Nestor. et Eutych. (Par. 1675. 8.) c. 16.: Gennadius ibi (Constantinopoli) remansit, ut cum aliis responsa faceret archiepiscopi Alexandrini. Cfr. c. 12.: Anatolius Diaconus Constantinopoli apocrisiarius Dioscori Alex. C. 23.: Pelagius Apocr. Romanus, und nachher: Pelagius, responsarius Vigilii et apocrisiarius Euphraemii Antiocheni et apocr. Petri Hierosolymorum. Auch von kleinern Kirchen waren Apocr. in Constantinop. *Evagr.* h. eccl. IV, 38.: Εὐτύχιος — τοῖς ἀποκρίσεσι τοῦ Ἀμασείας ἐπισκόπου διηκονεῖτο. Sogar die Klöster hatten ihre Apocr. *Conc. Oecum.* V. Act. 1.: Θεώνας πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἁγίου ὄρους Σινᾶ. *Cyrill.* Scythop. Vita S. Sabae (Cotel. mon. eccl. Gr. T. III. p. 266.): οἱ τῆς ἁγίας Ἀναστάσεως ἀποκρισιάριοι. Der Name Apocr. wurde auch gebraucht von den weltlichen Gesandten der Kaiser: *Isidor.* Pelus. L. IV. ep. 143.: τὴν τιμίαν κέλευσιν τοῦ εὐσεβοῦς καὶ θεοστηρίκτου ἡμῶν μεγάλου βασιλέως πρῶτον μὲν διὰ τοῦ βασιλικοῦ Ἀποκρισιαρίου μαθόντες.

Zu §. 25.

In dem *Conc. Antissiodor.* c. 6. kommt ein Archisubdiaconus vor.

Zu §. 33.

F. A. Knittel, prisca rariis ecclesia. Brunsv. 1767. 4.

Zu §. 34.

Wie es mit der Bildung mancher Geistlichen im 5ten Jahrh. stand, sieht man aus einer Unterschrift des *Conc. Ephesin.* Act. V.: Πατρίκιος δεύτερος πρεσβύτερος πώμης Παραδιοξίλου χειρὶ χρησάμενος παρὰ Μαξίμου τοῦ συμπρεσβυτέρου μου, διὰ τὸ γράμματα μὴ εἰδέναι.

Zu §. 41.

Für das Geschichtliche zu vgl. J. Bekmann, Beitr. zur Gesch. der Erfindungen. Leipz. 1805. 8. Band V. Stück 3.

Zu §. 46.

L. A. Muratori, Diss. de primis Christian. ecclesiis, und desselben

Digitized by Google

Diss. de sacra Basilicarum apud Christianos origine et apellatione in den Opp. Arezza. 1770. 4. T. XII. p. 32. 69.

Zu §. 53. n. 6.

Den Schmuck der Altäre u. Taufcapellen zeigt die Stelle in d. *Conc. Constant.* S. Menna, act. V.: *τὰς εἰς τύπον τοῦ ἁγίου πνεύματος χρυσᾶς τε καὶ ἀργυρᾶς περιστερὰς κρεμαμένας ὑπεράνω τῶν θείων κολυμβηθρῶν καὶ θυσιαστηρίων μετὰ τῶν ἄλλων ἐσφετερίσατο.*

Zu §. 63.

An den Dies stationum wurde die Versammlung mit dem Bruderkuß geschlossen. Gegner dieser Sitte erscheinen bei *Tertull.* de orat. c. 14.: alia jam consuetudo invaluit, jejunantes habita oratione tum fratribus subtrahunt osculum pacis, quod est signaculum orationis. Quando autem magis conferenda cum fratribus pax est, nisi cum oratione commendabilior ascendit, ut ipsi de nostra operatione participes, jam audeant de sua pace fratri transigere? Quae oratio cum divortio sancti osculi integra, quem Domino officium facientem impedit pax? Quale sacrificium est, a quo sine pace receditur? — — Allgemein war die Enthaltung von dem osculum pacis am Todestag Jesu: Die paschae, quo communis et quasi publica jejunii religio est, merito deponimus osculum.

Zu §. 95. n. 9.

J. Antony, Archäologisches Lehrbuch des Gregorianischen Kirchengesanges. Münster. 1829. 2 Bd. 4.

Zu §. 95.

Vgl. das Capitel II. de cursu gallicano: Psalmodiae origo et progressus in ecclesiis Gallicanis, Lugdunensi, Arelatensi, Viennensi, Massiliensi bei *Mabillon*, Lit. Gall. p. 395 ff.

Zu §. 96. n. 7.

Der bei den Priscillianisten gebräuchliche Hymnus findet sich vollständiger in der apocryphischen Schrift *περιοδοι των ἁγιων Ἀποστολων*, welche erwähnt wird in den Acten des *Conc. Oec. Nic.* II. Act. V. (bei Mansi XIII. p. 169.). Hier heißt es: *Συναγαγὼν (Ἰησοῦς) πάντας ἡμᾶς, ἔφη· πρὶν με ἐκείνοις παραδοθῆναι, ὑμνήσωμεν τὸν πατέρα, καὶ οὕτως ἐξέλθωμεν ἐπὶ τὸ προκείμενον. κελεύσας οὖν ἡμῖν γῦρον ποιῆσαι ἀποκρατούντων τὰς ἀλλήλων χεῖρας, ἐν μέσῳ δὲ αὐτὸς γενόμενος ἔλεγε τό· ἀμήν, ἐπακούετέ μου. ἤρξατο οὖν ὑμνεῖν καὶ λέγειν· δόξα σοι, πάτερ. καὶ ἡμεῖς κυ-*

Digitized by Google

κλείοντες ἐπικούρομεν αὐτῷ τὸ· ἀμήν. δόξα σοι λόγε, δόξα σοι χάρις. ἀμήν. δόξα σοι τὸ πνεῦμα, δόξα σοι ἅγιε, δόξα σοι τῇ δόξῃ, ἀμήν. αἰνοῦμέν σε πάτερ, εὐχαριστοῦμέν σοι, φῶς, ἐν ᾧ σκότος οὐκ οἰκεῖ, ἀμήν. ἐφ' ᾧ δὲ εὐχαριστοῦμεν, λέγω, σωθῆναι θέλω, καὶ σῶσαι θέλω, ἀμήν. λυθῆναι θέλω, καὶ λῦσαι θέλω, ἀμήν. τρωθῆναι θέλω καὶ τρῶσαι θέλω. ἀμήν. φαγεῖν θέλω καὶ βρωθῆναι θέλω, ἀμήν. ἀκούειν θέλω, καὶ ἀκούεσθαι θέλω, ἀμήν. νοηθῆναι θέλω, νοῦς ὢν ὅλος, ἀμήν. λούσασθαι θέλω καὶ λοιπὰ θέλω, ἀμήν. ἡ χάρις χορεύει. αὐλήσαι θέλω, ὀρχήσασθε πάντες, ἀμήν. θρηνῆσαι θέλω, κόψασθε πάντες, ἀμήν. καὶ μεθ' ἕτερα ταῦτα, ἀγαπητοὶ, χορεύσας μεθ' ἡμῶν ὁ κύριος ἐξῆλθε.

Zu 105. n. 7.

Chrysostom. (h. 40. in 1 Cor.) sagt weiter: πλὴν ἀλλ' ὡς ἂν οἷός τε ᾖ, συνεσκιασμένως ἐρῶ. μετὰ γὰρ τὴν ἀπαγγελίαν τῶν μυστικῶν ῥημάτων ἐκείνων καὶ φοβερῶν καὶ τοὺς φρικτοὺς κανόνας τῶν ἐκ τοῦ οὐρανοῦ κατενεχθέντων δογμάτων καὶ τοῦτο πρὸς τῷ τέλει προσέθεμεν, ὅταν μέλλωμεν βαπτίζειν, κελεύοντες λέγειν, ὅτι πιστεύω εἰς νεκρῶν ἀνάστασιν κ. τ. λ.

Zu §. 103. n. 4.

Der Exorcismus kommt schon früh vor in der orientalischen (alexandrinisch-orthodoxen?) Kirche. *Διδασκαλια ἀνατολικη* (bei *Clemen.* Alex. Opp. T. II. p. 988.): τὸ ὕδωρ τὸ ἐξορκιζόμενον καὶ τὸ βάπτισμα γινόμενον οὐ μόνον χωρεῖ τὸ χεῖρον ἀλλὰ καὶ ἁγιασμὸν προσλαμβάνει.

Zu §. 112.

Procop. Caes. anecd. s. hist. arcana. (ed. J. C. Orellius. Lipsiae. 1827. 8.) c. 1. p. 6.: τοῦτον τὸν νεανίαν ἔλουσε μὲν ὁ Βελισσάριος τὸ θεῖον λουτρὸν, καὶ χερσὶν ἀνελόμενος ἐνθένδε οἰκείαις, εἰσποιητὸν ἐποιήσατο ξὺν τῇ γυναικὶ παῖδα, ἥπερ εἰσποιεῖσθαι Χριστιανοῖς νόμος. Vgl. *Leon.* Imp. nov. 24.

Zu §. 118. n. 2.

Die Kirchengebete bei der Abendmahlsfeier bei *Tertull.* (de orat. 14.) = sacrificiorum orationes.

Zu §. 118. p. 359.

Die neueste Ausgabe des Miss. Mostarabic. ist von dem Cardinal F. A. Lorenzana. Rom. 1804. fol.

Digitized by Google

Zu §. 119.

Für die Abendmahlsfeier vgl. *Cyrilli* Scythopol. Vita S. Euthymii Abbatis (in Cotel. Monum. eccl. Gr. T. II. p. 266.): *δήποτε μεσᾶς τῶν σαββάτων ὁ μὲν ἐλειτούργει (Εὐθύμιος) Θεῷ, καὶ τὴν ἀναίμακτον αὐτῷ προσῆγε θυσίαν. Δομετιανὸς δὲ πρὸς τὰ δεξιὰ μέρη μὲν μετὰ τῆς μυστικῆς ἐκείνης ῥιπίδος παρίστατο. τελεῖσθαι δὲ ἤδη μελλούσης τῆς τοῦ τρισαγίου δοξολογίας, Τερέβων τε ὁ Σαρακηνὸς καὶ ὁ Χρυσίππου ἀδελφὸς Γαβριήλιος, ὁ μὲν πλησίον, ὁ δὲ τοῦ θυσιαστηρίου ἔνδον ἑστὼς, — ὁρῶσι πῦρ ἐκ τοῦ αἰφνιδίου — ἄνωθεν κατιὸν καὶ αὐτόν τε τὸν μέγαν Εὐθύμιον, σὺν αὐτῷ δὲ καὶ Δομετιανὸν ἔνδον περιλαβὸν, καὶ οὕτω περὶ αὐτοὺς διαμεῖναν ἀπαρχῆς τοῦ τρισαγίου ἄχρι καὶ συμπληρώσεως τῆς ἱερᾶς λειτουργίας. κ. τ. λ.*

Zu §. 121. n. 3.

Die kirchliche Einsegnung bei der Eheschließung gesetzlich gemacht in *Leon.* Imp. nov. 89.

Zu §. 122. n. 5. und §. 126. n. 1.

Die Taube, Symbol des Geistes nach Joh. 1, 32., so wie der Unschuld und des Arglosen (Matth. 10, 16.). Das Lamm, Symbol Christi, nach Joh. 1, 36., so wie der Unschuld. Der gute Hirte, zu beziehen auf Luc. 15, 4. und Joh. 10, 11. Der Anker, Sinnbild der christlichen Hoffnung (Hebr. 6, 19.). Die Fische, zu beziehen auf Christi Worte, Matth. 4, 19. vgl. Luc. 5, 10., sodann Anspielung auf die Taufe und das Anagramm des Namens Jesu. Das himmelanstrebende Schiff, Sinnbild der Kirche und der einzelnen Seele. Die Weintraube, zu beziehen auf das Gleichniß Joh. 15. Der Hahn, Sinnbild der christlichen Wachsamkeit, zu beziehen auf die Parusie (Marc. 8, 35.) vgl. auch Matth. 26, 74. Der siebenarmige Leuchter, nach Apocal. 1, 12. 20. Die Palme, Symbol des christl. Siegeslohnes (Apoc. 7, 9.). Das Haus, Symbol der Kirche (1 Tim. 3, 15.). Die Wage, Symbol des Gerichts. Die Leier, Symbol der christlichen Freude und des Ergusses derselben in Lobgesang (Eph. 5, 19.).

Zu §. 123. n. 4.

Die Abneigung der Christen gegen das Verbrennen erkennt man aus *Tertull.* de cor. mil. c. 10.: Et cremabitur ex disciplina ca-

Digitized by Google

strensi christianus, cui cremare non licuit, cui Christus meritis ignis indulsit.

Zu §. 126. n. 1.

Die Entdeckung, daß die Anfangsbuchstaben der Worte ἰησους χριστος, θεου υἱος, σωτηρ das Wort ἰχθυς bilden — gab zu Alterthümlichen Gelegenheit. Ein solches Akrostich, in welchem die Anfangsbuchstaben der hexametrischen Verse die Worte Ἰησους Χριστος, Θεου Υἱος, Σωτηρ Σταυρος, geben, findet sich in den Pseudosibyllinen, L. VIII. (ἀκροστιχις περι Χριστου).

Digitized by Google

Nominal- und Real-Index.

A.

Abendmahl, Abendmahlsfeier. Anfangs verbunden mit der Agape S. 331. Täglich genossen S. 332. Trennung von den Agapen und Verbindung mit den gottesdienstlichen Versammlungen S. 332. Zeit d. Feier S. 343. bes. bei sonntäglichem Gottesdienst S. 344. An anderen Orten noch täglich S. 344. 345. Theilnahme an manchen Orten seltener S. 347. auf Feste eingeschränkt, ebend. Die Neuverehelichten genießen die Communion S. 375. 376. Die Hinterbliebenen genießen sie an d. Jahrestagen der Verstorbenen S. 390. s. d. Art. Abendmahlselemente und A. Handlung, Familiencommunion, Krankencom., Liturgie u. s. w.

Abendmahls-Elemente, werden genommen aus den Gaben des Volks S. 336. Namenvorlesung der sie Darbringenden S. 337. Man genießt Wein mit Wasser S. 338. und in der Regel gesäuertes Brod S. 338. 339. Vereinzelung der Gestalten bei Häretikern S. 339. innerhalb der orthodoxen Kirche S. 340. 341.

Abendmahlshandlung. Character derselben in früheren Zeiten S. 351. in späteren S. 353. 360 ff. Vorbereitung zur Communion S. 361 — 368. Communion selbst S. 368 ff. Administranten S. 352. 370. Worte bei der Austheilung S. 370. Schluß der Feier S. 370.

Digitized by Google

Zusätze.

Zu §. 6. n. 5.

Ueber die Apostol. Constitut. oder Neue Untersuchung über die Bestandtheile, Entstehung und Zusammensetzung und den kirchlichen Werth dieser alten Schrift. In der Tübinger theolog. Quartalschrift. 1829. Heft 3. p. 397 ff. u. 4. p. 1 ff.

Zu §. 7. n. 1.

Ueber die Ableitung von τροῦλλος.

Conc. Oec. VI. act. 1. Die Synode versammelt sich ἐν τῷ στεφάνῃ τοῦ θείου παλατίου τῷ οὕτω λεγομένῳ τρούλλῳ. Vgl. Vita S. Steph. Jun. Mart. auct. *Stephan.* Diac. (Analecta Gr. Mon. Benedict. Par. 1688. 4. T. I. p. 482.): *σύνοδος ἐν τῷ ἱερῷ παλατίῳ ἔνθα ἐπιλέγεται ὁ τροῦλλος, ὅπερ ἡμεῖς ὥατον καλοῦμεν.* Cfr. *Dufresne* zu Paul. Silent. p. 547.

Zu §. 8. n. 1.

Knapp und Gutensohn versprechen zu ihrem Werke eine archäologische Beschreibung der Röm. Basiliken von A. Nibby, Prof. der Archäologie an der Universität zu Rom.

Zu §. 9.

p. 13. Z. 13. v. u. einzufügen:

F. X. Mannhardt, Lib. singul. de Antiquitat. Christianorum. Aug. Vindel. 1767. 8.

Zu §. 10. n. 1.

Die Heiden sprachen das ihnen weniger bekannte *Χριστος* häufig wie den Eigennamen *Χρηστος* aus; dieß erkennt man aus *Justin.* Apolog. I. p. 7.: *ὅσον τε ἐκ τοῦ κατηγορουμένου ἡμῶν ὀνόματος χρηστότατοι ὑπάρχομεν.* II. p. 8.: *Χριστιανοὶ γὰρ εἶναι κατηγορούμεθα. τὸ δὲ χρηστὸν μισεῖσθαι οὐ δίκαιον.* Vgl. *Athenagoras, πρεσβεια περι Χριστιανων.* p. 22. (ed. Lips. 1694. 8.): Die Heiden *εἰς τὸ ὄνομα ὡς εἰς ἀδίκημα ἐνυβρίζουσιν. οὐδὲν δὲ τὸ ὄνομα ἐφ' ἑαυτοῦ καὶ δι' αὐτοῦ οὐ πονηρὸν οὔτε χρηστὸν*

Digitized by Google

νομίζεται. διὰ δὲ τὰς ὑποκειμένας αὐτοῖς ἢ πονηρὰς ἢ ἀγαθὰς πράξεις, ἢ φλαῦρα ἢ ἀγαθὰ δοκεῖ. *Tertull.* Apol. 3: Christianus quantum interpretatio est, de unctione deducitur. Sed et cum perperam Chrestianus pronuntiatur a vobis (nam nec nominis certa est notitia penes vos) de suavitate vel benignitate (χρηστος) compositum est. Noch Ende des 3ten Jahrh. scheint dies gewöhnlich gewesen zu seyn. *Lactant.* instit. L. IV. c. 7: exponenda hujus nominis (Christi) ratio est propter ignorantium errorem, qui eum immutata litera Chrestum solent dicere. Diese Pronuntiationsweise erklärt die bekannte Stelle *Sueton.* Vita Claud. c. 25.

Zu §. 16.

Unter den Benennungen der Bischöfe kommt auch vor: Antistes. Vgl. *Augustin.* ep. 54. c. 4.

Zu §. 20. n. 8.

Die ἔκδικοι (= defensores, προστάται) der griech. Kirche des 5ten Jahrh. waren meist Cleriker, entweder Presbyteren (*Conc. Chalced.* act. 1.: Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος.) oder Diaconen (*Theodorus* Lector, fragm. b. Vales. p. 533: Ἰωάννης διάκονος καὶ ἔκδικος, τοῦ εὐαγοῦς οἴκου Στεφάνου τοῦ τῶν μαρτύρων πρώτου.). Im Occident seit dem Gesetz (S. d. §.) des Honorius Laien. Vgl. *Gothofr.* ad Cod. Theodos. XVI. 2. 38. Die Defensoren werden von dem *Conc. Chalced.* c. 23. mit folgendem Geschäft beauftragt: ὥρισεν ἡ ἁγία σύνοδος, τοὺς τοιούτους ὑπομιμνήσκεσθαι μὲν πρότερον διὰ τοῦ ἐκδίκου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας ἐπὶ τῷ ἐξελθεῖν τῆς βασιλευούσης πόλεως. εἰ δὲ τοῖς αὐτοῖς πράγμασιν ἐπιμένοιεν ἀναισχυντοῦντες καὶ ἄκοντας αὐτοὺς διὰ τοῦ αὐτοῦ ἐκβάλλεσθαι καὶ τοὺς ἰδίους καταλαμβάνειν τόπους. Auch über die Cleriker giebt ihnen eine Aufsicht Codex. *Justinian.* L. I. Tit. 3. l. 42. §. 10.: διὸ παντὶ τρόπῳ τοὺς κληρικοὺς ψάλλειν κελεύομεν, καὶ καταζητεῖσθαι αὐτοὺς παρὰ τῶν κατὰ καιρὸν θεοφιλεστάτων ἐπισκόπων καὶ δύω πρωτοπρεσβυτέρων ἑκάστης ἐκκλησίας καὶ τοῦ καλουμένου ἄρχοντος ἤτοι ἐξάρχου, καὶ τοῦ ἐκδίκου ἑκάστης ἁγιωτάτης ἐκκλησίας καὶ τοὺς μὴ εὑρισκομένους ἀμέμπτως ταῖς λειτουργίαις προσκαρτεροῦντας ἔξω τοῦ κλήρου καθίστασθαι. — Daß der ἔκδικος zuweilen auch auswärtige Geschäfte für seine Kirche hatte, zeigt *Conc. Ephes.* act. V.: Ἀσφάλιος πρεσβύτερος ὅς ἐστι μὲν τῆς Ἀντιοχέων ἐκκλησίας, ἐκδικεῖ δὲ ἐν Κωνσταντινουπόλει τὰ πράγματα τῆς αὐτῆς ἐκκλησίας. Wahrscheinlich ist hier von einem temporären Aufenthalt des Antioch. Ekdikos die Rede, sei es daß er für seine Kirche am Hofe Schutz und Recht suchte, oder daß er aus

Digitized by Google

Veranlassung einer zwischen seiner und der Constant. Kirche schwebenden Streitigkeit sich hier befand. Hieher gehört auch das in dem 5. u. 6. Jahrh. häufig vorkommende Amt der Ἀποκρισιάριοι, Apocrisiarii (responsales, responsarii), welche am kaiserlich griechischen Hofe als kirchliche Geschäftsträger der auswärtigen Bischöfe fungirten. *Justin.* Nov. 6. §. 2. Es kommen hauptsächlich von den größern Metropolen solche Apocr. vor. So bei *Liberatus*, Archidiac. Carth. Breviar. causae Nestor. et Eutych. (Par. 1675. 8.) c. 16.: Gemadius ibi (Constantinopoli) remansit, ut cum aliis responsa faceret archiepiscopi Alexandrini. Cfr. c. 12.: Anatolius Diaconus Constantinopoli apocrisiarius Dioscori Alex. C. 23.: Pelagius Apocr. Romanus, und nachher: Pelagius, responsarius Vigilii et apocrisiarius Euphraemii Antiocheni et apocr. Petri Hierosolymorum. Auch von kleinern Kirchen waren Apocr. in Constantinop. *Evagr.* h. eccl. IV, 38.: Εὐτύχιος — ταῖς ἀποκρίσεσι τοῦ Ἀμασείας ἐπισκόπου διηκονεῖτο. Sogar die Klöster hatten ihre Apocr. *Conc. Oecum.* V. Act. 1.: Θεώνας πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἁγίου ὄρους Σινᾶ. *Cyrill.* Scythop. Vita S. Sabae (Cotel. mon. eccl. Gr. T. III. p. 266.): οἱ τῆς ἁγίας Ἀναστάσεως ἀποκρισιάριοι. Der Name Apocr. wurde auch gebraucht von den weltlichen Gesandten der Kaiser: *Isidor.* Pelus. L. IV. ep. 143.: τὴν τιμίαν κέλευσιν τοῦ εὐσεβοῦς καὶ θεοπροβλήτου ἡμῶν μεγάλου βασιλέως πρῶτον μὲν διὰ τοῦ βασιλικοῦ Ἀποκρισιαρίου μαθόντες.

Zu §. 25.

In dem *Conc. Antiochiodor.* c. 6. kommt ein Archisubdiaconus vor.

Zu §. 33.

F. A. Knittel, prisca rariis ecclesia. Brunsv. 1767. 4.

Zu §. 34.

Wie es mit der Bildung mancher Geistlichen im 5ten Jahrh. stand, sieht man aus einer Unterschrift des *Conc. Ephesin.* Act. V.: Πατρίκιος δεύτερος πρεσβύτερος πώμης Παραδιοξίλου χειρὶ χρησάμενος παρὰ Μαξίμου τοῦ συμπρεσβυτέρου μου, διὰ τὸ γράμματα μὴ εἰδέναι.

Zu §. 41.

Für das Geschichtliche zu vgl. J. Bekmann, Beitr. zur Gesch. der Erfindungen. Leipz. 1805. 8. Band V. Stück 3.

Zu §. 46.

L. A. Muratori, Diss. de primis Christian. ecclesiis, und desselben

Digitized by Google

Diss. de sacra Basilicarum apud Christianos origine et apellatione in den Opp. Arezza. 1770. 4. T. XII. p. 32. 69.

Zu §. 53. n. 6.

Den Schmuck der Altäre u. Taufcapellen zeigt die Stelle in d. *Conc. Constant.* S. Menna, act. V.: τὰς εἰς τύπον τοῦ ἁγίου πνεύματος χρυσᾶς τε καὶ ἀργυρᾶς περιστερὰς κρεμαμένας ὑπεράνω τῶν θείων κολυμβηθρῶν καὶ θυσιαστηρίων μετὰ τῶν ἄλλων ἐσφετερίσατο.

Zu §. 63.

An den Dies stationum wurde die Versammlung mit dem Bruderkuß geschlossen. Gegner dieser Sitte erscheinen bei *Tertull.* de orat. c. 14.: alia jam consuetudo invaluit, jejunantes habita oratione tum fratribus subtrahunt osculum pacis, quod est signaculum orationis. Quando autem magis conferenda cum fratribus pax est, nisi cum oratione commendabilior ascendit, ut ipsi de nostra operatione participes, jam audeant de sua pace fratri transigere? Quae oratio cum divortio sancti osculi integra, quem Domino officium facientem impedit pax? Quale sacrificium est, a quo sine pace receditur? — — Allgemein war die Enthaltung von dem osculum pacis am Todestag Jesu: Die paschae, quo communis et quasi publica jejunii religio est, merito deponimus osculum.

Zu §. 95. n. 9.

J. Antony, Archäologisches Lehrbuch des Gregorianischen Kirchengesanges. Münster. 1829. 2 Bd. 4.

Zu §. 95.

Vgl. das Capitel II. de cursu gallicano: Psalmodiae origo et progressus in ecclesiis Gallicanis, Lugdunensi, Arelatensi, Viennensi, Massiliensi bei *Mabillon*, Lit. Gall. p. 395 ff.

Zu §. 96. n. 7.

